Ἀξίας δημοσιεύσεως ἐκρίναμεν τὰς ἐφεξῆς δώδεκα ἐπιστολὰς Γερασίμου ἱερομονάχου τοῦ διαδεξαμένου τὸν ἀοίδιμον ἱδρυτήν τε καὶ πρῶτον καθηγητὴν τοῦ ἐν Πάτμῳ κατὰ τὰς ἀρχὰς τῆς παρελθούσης ἑκατονταετηρίδος συστηθέντος Φροντιστηρίου τῶν ἑλληνικῶν γραμμάτων· τὸ μέν, ὅτι, ὡς καὶ ἄλλοτε εἴπομεν [1], τῶν πρὸ τῆς πολιτικῆς παλιγγενεσίας τοῦ ἔθνους γενομένων ἀειμνήστων διδασκάλων τὰ πονήματα, οἱαδήτινα κἂν ὦσι, δέον νὰ γίνωνται διὰ τοῦ τύπου γνωστὰ ἵνα μένωσιν εἰς τοὺς ἐπιγινομένους διηνεκῆ ὑπομνήματα τῶν μεγάλων ἀγώνων, οὓς ἐκεῖνοι καρτερικῶς ἀνέτλησαν πρὸς διάδοσιν τοῦ οὐρανίου φωτὸς τῆς παιδείας ἐν ἡμέραις πικρᾶς δουλείας, παχυλῆς τε ζοφώσεως καὶ παντοίων διωγμῶν καὶ δοκιμασιῶν· τὸ δέ, ἵνα κατάδηλον ποιήσωμεν τὸν ἄκρον σεβασμὸν καὶ τὴν ἔνθερμον στοργήν, ἣν εἶχον εἰς τοὺς οἰκείους διδασκάλους οἱ τότε μαθητευόμενοι, οὐχὶ δὲ ὅπως συμβαίνει σήμερον παρ' ἡμῖν, καθόσον οἱ τῶν καθ' ἡμᾶς ἡμερῶν μαθηταὶ χολὴν ἀντὶ τοῦ μάνα ποτίζουσιν αὐτοὺς καὶ ἀναιδῶς καὶ ἀναφανδὸν λοιδωροῦσιν αὐτοὺς καὶ δι' αὐτῶν ἔτι τῶν φονικῶν ὅπλων ἀπειλοῦσι. Καὶ ὁποῖός τις μὲν ὑπῆρξεν ὁ ἱερὸς ὄντως οὗτος ἀνήρ, ἱκανὰ ἔγραψεν εἰς τῶν διαπρεπεστέρων αὐτοῦ μαθητῶν, ὁ καὶ καθηγητὴς τῆς φιλοσοφίας χρηματίσας ἐν τῇ σχολῇ τοῦ Βουκουρεστίου, Ἀλέξανδρος ὁ ἐκ Τυρνάβου τῆς Θεσσαλίας ἐν τῇ ὑπ' αὐτοῦ ἐκπονηθείσῃ *Συνοπτικῇ διηγήσει περὶ τοῦ βίου τοῦ περιπύστου ἀνδρός* [2], ἐξ ἧς παρατιθέμεθα τὴν ἀκόλουθον περικοπὴν ὅσον ἀφορᾷ εἰς τὴν διδασκαλίαν αὐτοῦ· «ἀγῶνας δὲ οὓς ὑπέμεινε μετὰ τὸ ἐπανιέναι εἰς τὸ τῆς πατρίδος φίλον ἔδαφος, τούς τε θρομβοειδεῖς ἱδρῶτας καὶ ἀκαμάτους πόνους ὑπὲρ τῆς τῶν μαθητῶν εὐδοκιμήσεως, καὶ τοῦ πολλαπλασιάσαι τὸ τάλαντον, ὅσους τε τῶν φοιτητῶν τοῦ ποθουμένου εἰς πέρας ἤγαγεν, οὐ μόνον πρὸς παιδείαν, ἀλλὰ καὶ πρὸς πᾶν εἶδος ἀρετῆς ἐπαλείφων ἅπαντας διὰ τῆς ἀπαύστου αὐτοῦ διδασκαλίας καὶ εἰσηγήσεως, τύπον ἑαυτὸν καὶ ὑπογραμμὸν ἀρετῆς καὶ σοφίας πᾶσι παρεχόμενος, διδάσκων μὲν τὰ πρακτέα, ποιῶν δὲ τὰ διδασκόμενα, καὶ τοῦτο ἐν οἱᾳδήποτε διαθέσει, καὶ ἐν χρόνῳ παντί, κλινήρης, ὑγιής, ἐν γήρᾳ, ἐν νεότητι, ἐν νυκτί, ἐν ἡμέρᾳ, πάντα κάλων κινῶν, τὸ τοῦ λόγου, ἵνα τοὺς πάντας κερδήσῃ· καὶ ταῦτα πάντα παρίημι, οὔτε γὰρ ληπτὰ ἀριθμῷ, καὶ λόγῳ καθυποβληθῆναι ἀμήχανον»· καὶ μετ' ὀ-

[1] Ἴδ. Παρνασ. τόμ. Ι', σελ. 457.

[2] Μεσαιων. βιβλιοθ. τόμ. Γ', σελ. 504.

λίγα ταῦτα πάλιν λέγει περὶ τῆς ἀρετῆς τοῦ φερωνύμως μακαρίου ἀνδρός· «τὸν δὲ βίον αὐτοῦ τὸν ὑπὲρ ἄνθρωπον καὶ εἰσάγγελον, τὸ περὶ τὴν ἐγκράτειαν ἀπαράμιλλον, τὸ ἐν ἀγρυπνίαις παννύχιον, τὸ πρὸς τοὺς πάντας φιλόστοργον, τὸ ἐν ταπεινότητι χριστομίμητον, τὸ ἐν προσευχαῖς σύντονον, τὸν εἰς τὰ θεῖα ζῆλον, τὴν τῆς σαρκὸς καθαρότητα, τὸ ἐν πᾶσι νηφάλιον, τὸ πρὸς τοὺς παραπικραίνοντας ἀμνησίκακον, τὴν τοῦ θυμοῦ μετάθεσιν εἰς ἄκραν πραότητα, τὸ ἐν λόγοις ὑψηλόν, τὸ ἐν ἔργοις θαυμάσιον, τὴν περὶ τὴν δίαιταν ἐσχάτην λιτότητα, τὸ περὶ τὴν ἀκτημοσύνην ἑκούσιον, τὴν ἐν ἐλέει δαψίλειαν, τὸ περὶ τὸν τρίβωνα εὐτελὲς καὶ φιλόσοφον, τὴν περὶ τὰ ἤθη χρηστότητα, τὸ ἐν πᾶσιν ἀπέριττον, ταῦτα δὴ πάντα καὶ τὰ τούτοις ἀδελφά, τίς ἂν τῷ λόγῳ διελθεῖν ἐξισχύσειεν; εἰς αὐτὴν γὰρ ἀνέδραμε γιγαντιαίῳ τινὶ καὶ ἡρωϊκῷ τῷ φρονήματι τῶν ἀρετῶν τὴν ἀκρόπολιν, καὶ εἴπερ τις ἄλλος πράξει καὶ θεωρίᾳ ὑπερέλαμψε.»

Τούτου λοιπὸν τοῦ Μακαρίου μαθητὴς καὶ διάδοχος ἐπὶ τριετίαν περίπου ὑπῆρξεν ὁ περὶ οὗ ὁ λόγος Γεράσιμος ἱερομόναχος τὸν βαθμόν, Κωνσταντινουπολίτης τὴν πατρίδα ἐξ Ὑψωμαθείων, λίαν δὲ γελασῖνος τὸ ἦθος, ὡς ἔν τινι τοῦ Μακαρίου ἐπιστολῇ ἀναφέρεται. Ἐδίδαξε δὲ καὶ οὗτος κατὰ τὸ βραχὺ τοῦτο χρονικὸν διάστημα εὐκλεῶς καὶ ἀξίως τοῦ μεταστάντος διδασκάλου αὐτοῦ. Συνέγραψεν Ὑπόμνημα εἰς τὸ Δ' τῆς γραμματικῆς Θεοδώρου τοῦ Γαζῆ ἐκδοθὲν ἐν Βενετίᾳ τῷ 1757. Ὁ ἱερὸς οὗτος ἀνὴρ συνεχόμενος ἐκ τοῦ πάθους τῆς λιθιάσεως ἀπῆλθε τῷ 1740 εἰς Κρήτην πρὸς θεραπείαν· διατρίβοντα δὲ ἐν τῇ κατὰ τὸ Ἀκρωτήριον ἱερᾷ μονῇ τῆς ἁγίας Τριάδος εὗρεν αὐτὸν τὸ μακάριον τέλος· τὸ δ' ὑπὸ τοῦ φίλου Σάθα ἀναφερόμενον ὅτι ἐδίδαξεν ἐν Κρήτῃ καὶ ὅτι ἐτελεύτησεν ἐν Πάτμῳ εἶναι πάντῃ ἀνυπόστατον. Ἐν τῷ ἱερῷ αὐτοῦ λειψάνῳ ἐξεδηλώθησαν τὰ τῆς ἁγιότητος γνωρίσματα, καὶ τούτου ἕνεκα οἱ τῆς Ἁγίας Τριάδος πατέρες ἐθεώρουν αὐτὸ ὡς κειμήλιον τῆς κατ' αὐτοὺς ἱερᾶς μονῆς. Μόνον δέ, αἰτήσει τῶν τῆς Πάτμου πατέρων, ἀποσπάσαντες τὸν δεξιὸν πῆχυν μετὰ καὶ τῆς χειρὸς ἀπέστειλαν εἰς αὐτούς, ὅστις καὶ διατηρεῖται ἐν ἀργυρᾷ θήκῃ μεταξὺ τῶν ἱερῶν λειψάνων τῆς τοῦ Θεολόγου μονῆς. Τελευταῖον δὲ καὶ οἱονεὶ ἐπισφράγισμα τῶν περισωθεισῶν τούτων ἐπιστολῶν τοῦ ἱεροῦ ἀνδρὸς ἐκδίδομεν καὶ τὴν ὑπ' αὐτοῦ συνταχθεῖσαν σύντομον *Ἔκφρασιν Πάτμου ἐν γυμνάσματος εἴδει.*

Α'.

[ΚΩΝΣΤΑΝΤΙΝΩι ΓΟΡΔΑΤΩι]

Κατεσθιομένῳ τὰ σπλάγχνα τῇ ἀπαρακλήτῳ συμφορᾷ, καὶ ὀχετοῖς δακρύων [περιῤῥαινομένῳ οὕτως?] εἰπεῖν, καὶ ἀπολεγομένῳ καὶ αὐτὴν τὴν ψυχήν, ἦκέ μοι τὰ σοφὰ αὐτῆς καὶ παρακλήσεως γέμοντα γράμματα, ἅπερ

τοῖς σοφοῖς καὶ καιρίοις τῷ ὄντι ἐνθυμήμασι τήν τε βαρυτάτην ἀθυμίαν τῆς ψυχῆς μου ἀποσκεδάσαντα, καὶ τὴν ἀπ' αὐτῆς κατασχοῦσάν με κατακρά-τος ἀχλὺν ἀποσεισάμενα εἰς τὸ εὐθυμότερον ἐπανήγαγον, καὶ φιλοσοφεῖν εὐγνωμόνως ἐπὶ τῇ μεταστάσει τοῦ ἐμοῦ πνευματικοῦ πατρός τε καὶ διδα-σκάλου ἔπεισαν, καίτοι θλίψει ἀφορήτῳ κατεχόμενον καὶ ὀρφανίαν κρείτ-τονα ὀδυρόμενον ἢ κατὰ παράκλησιν. Καὶ πῶς οὐχί; ἐκείνη καὶ γὰρ ἡ μα-καρία ψυχή, ὡς καὶ ἡ σήμοι τελειότης σημειοῖ, πάντα ἦν ἐμοί, καὶ πατήρ, καὶ ἀδελφός, καὶ διδάσκαλος, καὶ κηδεμών, καὶ εἴ τι τῶν εἰς σωτηρίαν φε-ρόντων· καὶ ποῦ; ἐν ταύτῃ τῇ ἐσχατιᾷ καὶ ξένῃ πατρίδι. Ταῦτα οὖν πάντα ἀναλογιζόμενος κατ' ἐμαυτόν, πῶς οὐ τῷ βυθῷ τῆς λύπης βαπτισθήσομαι ἐπὶ τοιαύτῃ ἀπαρακλήτῳ συμφορᾷ; καὶ τὸ δὴ μέγιστον πῶς παρακληθήσομαι; πῶς καὶ κινῶ γλῶτταν ὁ ἤδη ἄγλωττος; πῶς χεῖρα ὁ ἄχειρ, ἅτε δὴ ἀφαιρεθεὶς τὴν διδάσκαλον ἐκείνην καὶ φιλόσοφον γλῶτταν, τὴν κινοῦσάν με καὶ μορφοῦ-σαν γλῶσσαν ἐκείνην, τὴν ὀρθοτομοῦσαν τὰ θεῖα δόγματα, τὴν παῤῥησιαζο-μένην τὴν εὐσέβειαν, καὶ χειρί, καὶ λόγῳ, καὶ τρόπῳ· τὴν οὖσαν ἔρεισμά τε καὶ ἐγκαλλώπισμα τοῦ νῦν δυστυχοῦς γένους; γλῶσσαν ἐκείνην τὴν μαι-εύτριαν τῆς καλλιεπείας τοῦ καθ' Ἕλληνας λόγου, τὴν φθεγγομένην οὐδὲν ἄλλο, ἢ τὰ μεγαλεῖα τοῦ Θεοῦ, τὴν ἀναπνέουσαν ἔλεος, παράκλησιν πρὸς τοὺς χήτει τῶν ἀναγκαίων πιεζομένους; Ταῦτα τοίνυν, καὶ ὅσα τούτοις ἀδελφὰ προσῆν ἐκείνῳ, ἑκὼν παρίημι, ἵνα μὴ δόξω τὰ οἰκεῖα ἀποσεμνύνειν. οἰκεῖα γὰρ πάντα τὰ τοῦ ἐμοῦ πατρός, ἀλλὰ κἀντούτοις χάρις τῇ θείᾳ προ-νοίᾳ τῇ ἀναδειξάσῃ σε, τὴν φίλην ἐμοὶ κεφαλήν, τῷ ἀναξίῳ ἐμοὶ συλλυ-πούμενον καὶ παρακλήτορα δεξιὸν εἰς τὸ ἀνακτᾶσθαί με τὸν ὑπὸ λύπης ἀνηκέστου καὶ βαρυθυμίας ἀπειρηκότα, λόγου δυνάμει καὶ σοφαῖς εἰσηγήσεσιν, ἃς τινας ἀποδεξάμενος ὡς παρὰ πιστοῦ φίλου καὶ ὄντως γνησίου τῷ ἀπελθόντι, φέρω εὐγνωμόνως τὸ ἀπὸ τοῦ δε τὴν διάστασιν· τοῦτο μέν, ἵνα μὴ προσκρούσω τῷ τῶν ὅλων δεσπότῃ, τῷ ἀῤῥήτοις λόγοις καὶ κρείττοσιν ἢ κατὰ λογισμοὺς ἀνθρώπων τὰ καθ' ἡμᾶς διεξάγοντι· τὸ γὰρ δυσχεραίνειν ἐπὶ ἀώρῳ θανάτῳ τῶν ἀποιχομένων, ἀνθρώπου τοῦ καθέζοντος ἑαυτὸν ὁρο-θέτην πρὸς τὴν ψῆφον ἐκείνου, ὡς δῆθεν ἀώρως μετακαλοῦντος τὸ πλάσμα πρὸς τὰς ἐκεῖσε σκηνάς, ὅπερ ἄντικρυς πόῤῥω ἀπῴκισται ψυχῆς εὐσέβειαν μελετώσης· τοῦτο δέ, ἵνα μὴ καὶ τῷ ἀμέτρῳ πένθει εἰς τοὺς πατρικοὺς τῆς ἐκείνου καρτερίας ἄθλους (οὓς οὐκ ἀγεννῶς ἐνήθλει ἐκεῖνος) ἐξυβρίσω, καὶ οὕτω γ' ἐμαυτὸν νόθον καὶ ἀλλότριον δείξω τῆς ἐκείνου μεγαλοψυχίας, πρὸς δὲ καὶ ταῖς σοφαῖς παρακλήσεσιν ἀπειθῆ τοῦ γνησίου καὶ ὄντως, ὡς φθὰς ἔφην, φίλου τῷ ἀοιδίμῳ ἐκείνῳ, τῷ σὲ μᾶλλον ἢ τὸν ἀέρα ἀναπνέοντι, καὶ τὸ σὸν φίλον ὄνομα καὶ ἐν αὐταῖς ταῖς ἐσχάταις ἡμέραις ἀνακαλοῦντι εἰς μνήμην. Ἐν μιᾷ καὶ γὰρ τῶν ἡμερῶν εἶπέ μοι· Γεράσιμε, μετὰ τὴν τῆς ὑγείας ἀνάληψιν, θεοῦ συναιρομένου, πορευσόμεθα εἰς Χίον πρὸς τὸν ἐμὸν Κωνσταντῖνον, καὶ ἅμα μνησθεὶς καὶ τοῦ ὑποστατικοῦ τοῦ εἰς τὰ Πανία,

'Ανθ' ὧν ἁπάντων σοὶ τὰ νῦν ὡς ὑποδιδασκάλῳ τελῶν τὴν τῶν μαθημάτων παράδοσιν ἀπρακτεῖν οὐκ εἴασα, τό γε εἰς δύναμιν ἦκον, καὶ τοὺς μαθητιῶντας περιέθαλψα, ἵνα μὴ *διασκορπισθῶσι παταχθέντος τοῦ ποιμένος*· οὐ ταῖς ἄνωθεν πρεσβείαις τὸ κρεῖττον δυσωπούμενον δῴησοι τὸ ζῆν ἐπιμήκιστον, ἄνοσόν τε καὶ ἀπερίστατον, εἰς φιλοτίμημα τῶν φιλολόγων καὶ ὑπεράσπισιν τῶν ὀρθῶν δογμάτων, καὶ ἀντίληψιν τοῦ σοῦ νῦν ὀρφανοῦ Γερασίμου.

Β'.

[ΝΙΚΟΛΑΩι]

Ἦκέ μοι τὰ σὰ παραμυθητικά, ἢ μᾶλλον εἰπεῖν συναλγητικὰ γράμματα, γνήσιε παῖ Νικόλαε (καὶ μὴ ξενίζου τῇ κλήσει· εἰςποιεῖ γάρ σε ἐμοὶ τὸ σχῆμα), ἅττα καὶ ἀνέδειξάν σε ἀκίβδηλον ὀπαδὸν τοῦ ἀπελθόντος κοινοῦ πατρὸς καὶ διδασκάλου, ναὶ μὴν καὶ εὐγνώμονα· τὸ γάρ σε μεμνῆσθαι τῶν ἀπ' ἐκείνου καλῶν, τί εἴη ἂν ἕτερον, εἰ μὴ ἀνδρὸς εὐγνώμονος καὶ πιστοῦ μαθητοῦ πρὸς τὸν ἑαυτοῦ διδάσκαλον. Τὸ δὲ θρηνεῖν καὶ ὀδύρεσθαι τὴν τοῦ κοινοῦ γένους ζημίαν, ὡς οὐκ ὄντος αὐτῷ ἔτι τοιούτου διδασκάλου, τοῦ πράξει καὶ θεωρίᾳ κεκοσμημένου, τοῦ εἰς κόσμον αὐτῷ συντελοῦντος καὶ σεμνολόγημα, τοῦ εὐφυΐᾳ καὶ τάχει φύσεως πεπλουτηκότος, καὶ ῥεύματι γλώττης καὶ αὐτοῖς τοῖς ταχυῤῥόοις τῶν ποταμῶν ἁμιλλωμένου, τοῦ μετρίου τῷ φρονήματι, τοῦ ταπεινοῦ τὸ σχῆμα, τοῦ σώφρονος, τοῦ φιλοπένητος, τοῦ ἀπροφασίστου παρακλήτορος τῶν μαθητιώντων, τῶν τε ἐν ἀλλοδαπαῖς καὶ τῶν παρ' αὐτῷ. Ταῦτά, φημι, πάντα, καὶ τὰ τούτοις ἀδελφά, ὅσα αὐτός μοι ἐποδύρῃ, γνησιώτερόν σε παρίστησι καὶ αἴσθησιν ἔχοντα τοῦ καλοῦ, καὶ διὰ τοῦτο ἀλγοῦντα πέρα τοῦ μετρίου, καί γ' οὐκ ἀπεικότως· «Ὁ προστιθεὶς γάρ, φησιν, γνῶσιν προστίθησι καὶ ἄλγος». Ταῦτα δὴ καὶ αὐτὸς στρέφων κατὰ νοῦν, κατ' ἐμαυτὸν πένθει ἀπαρακλήτῳ συνέχομαι, καὶ αὐτὸ τὸ ζῆν ἀβίωτον ἡγοῦμαι, καὶ ταυτὶ τὰ νῦν ἐγχαράττων οὐκ ἀδακρυτὶ φέρω τὴν ἐκείνου μνήμην, ἀλλὰ περιῤῥαίνομαι τοῖς δάκρυσιν, οἷμοι λέγων πρὸς ἐμαυτόν, πῶς φθέγγομαι, ἐκείνου σιγῶντος; πῶς κινῶ χεῖρα, ἐκείνης ἀκινήτου οὔσης; Ἀλλὰ τί πεπόνθαμεν, ὦ φίλος; ποῖ φερόμεθα, οὕτω τῷ βυθῷ τῆς λύπης καταβαπτισθέντες· ἐλάθομεν τῷ πένθει εἰς ἐναντίον νοῦν παρασυρέντες τῆς καθ' ἡμᾶς πίστεως. Τίνων οὖν ἐστι τὸ ὀδύρεσθαι τοὺς μεταστάντας τῶν τῇδε; οὐ τῶν ἀπιστούντων; οὐ τῶν ἀρνουμένων τὴν ἐλπίδα τῆς ἀναστάσεως; οὐ βοᾷ ταῦτα Παῦλος ἐν οἷς φησιν. «Ἵνα μὴ λυπῆσθε καὶ ὑμεῖς, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα»; ὡς καὶ ἡ μακαρία ἐκείνη ψυχὴ ἔλεγε τοῖς περὶ αὐτὴν κλαίουσι, σταθερῷ τῷ φρονήματι· Τί κλαίετέ, φησιν; ἀπιστίας γὰρ σημεῖόν ἐστι τὰ δάκρυα καὶ τῶν σβεννύειν τούτοις φιλονεικούντων τὴν τῆς ἀναστάσεως δύναμιν. Διά τοι τοῦτο συμπαρακληθῶμεν ὑπ' ἀλλήλων, μὴ πάθωμεν ἀγεννές τι καὶ ἀνάξιον τῆς τοῦ ἀπελθόν-

τος καρτερίας τε καὶ διδασκαλίας. Μὴ προστρίψωμεν μομφήν τινα ἐκείνῳ· φιλεῖ καὶ γὰρ ὡς τὰ πολλὰ ὁ χύδην λεὼς τῷ τρόπῳ τῶν διδασκομένων, καὶ τὸν τοῦ διδάσκοντος συντεχμαίρεσθαι· συμπαρακληθῶμεν δέ, ὡς φθὰς ἔφην. Οὕτω σὺ μὲν ὀδύρῃ, ὅτι οὐκ ἔχεις τὸν παραμυθοῦντα καὶ συμβουλεύοντα τὰ εἰκότα· ἀλλ' ἔχεις νῦν, μᾶλλον· οὐ γὰρ συναπῆρεν ἑαυτῷ καὶ τοὺς παρακλητικοὺς λόγους, ἀλλ' ὑπέβαλεν ἡμῖν ὡς πλείστους τε καὶ καλλίστους, καὶ νῦν ἔτι μᾶλλον ἐπιπέμπει ἄνωθεν· τίσιν; οὐδέσιν ἄλλοις, ἢ τοῖς φυλάττουσι τὰς διὰ ζώσης αὐτοῦ φωνῆς εἰσηγήσεις τε καὶ παρακλήσεις. Μᾶλλόν φημι νῦν, ὅτι καὶ ἐγγύτερον γεγονὼς τῇ φωτοχυσίᾳ τῆς τρισηλίου θεότητος, ταῖς πρὸς αὐτὴν ἐντεύξεσιν δαψιλεστέραν τὴν ἐκεῖθεν ἐπιχορηγεῖ ροπὴν εἰς παραμυθίαν τῶν ἀπαραμυθήτων· ἔτι δέ, ὅτι δίστομος μάχαιρα ἦν κατὰ τῶν αἱρετιζόντων. Ἀλλ' ἔδειξε κατανοεῖν, ὅτι καὶ μάλιστα τὰ νῦν, ἅτε δὴ ἐμφράττων τὰ ἀπύλωτα ἐκείνων στόματα, καὶ ὡς ἀραχνιαίους μίτους διαλύων τὰς ἐκείνων ἀσελλογίστους πλοκάς, οἷς τε συνεγράψατο κατ' αὐτῶν, οἷς τε διὰ ζώσης φωνῆς ὑφηγήσατο ἡμῖν, καὶ τὸ μέγιστον, ὅτι ἐσφράγισε τὸν ἑαυτοῦ βίον, ἐκλιπὼν τὸ ζῆν ἐν τοῖς ὀρθοῖς δόγμασι τῆς κοινῆς ἡμῶν μητρὸς τῆς Ἀνατολικῆς Ἐκκλησίας, ἐφοδιασθεὶς καλῶς τοῖς ἐκεῖθεν μυστηρίοις. Θρηνεῖς ἔτι, ὅτι καλύπτει πικρὸς λίθος τὸ ἐκείνου σῶμα. Ἀλλ' ἔχουσιν Ἀβραμιαῖοι κόλποι τὴν ψυχήν, τὴν ὄντως Ἀβραμιαίαν, καὶ φιλόπτωχον, καὶ ἀποπλουτοῦσαν τὰ ἐνόντα τοῖς πένησιν, ὡς τὰ πολλὰ δὲ καὶ ἐκ τῶν ὑστερημάτων, ὃ καὶ σπάνιον· διὸ καὶμᾶλλον θαυμάσιον. Διά τοι τοῦτο οὐ δεῖ ἡμᾶς ἀλγεῖν, ὅτι κατέλιπεν ὀρφανούς, ἀπαρακλήτους τοὺς φίλους αὐτοῦ μαθητάς, εὖ εἰδότας, ὅτι μετ' ὀλίγον εὑρήσει ἡμᾶς, ἂν μείνωμεν τῇ ἀληθείᾳ αὐτοῦ μαθηταί, ἂν ζηλώσωμεν ἐκεῖνον μέχρι τέλους τῷ ὑπὲρ εὐσεβείας ζήλῳ καὶ τοῖς ἐκείνου ἤθεσιν, ἂν μὴ ὀκνῶμεν πρὸς παράδοσιν τῶν μαθημάτων ὧν ἐνεπιστεύθημεν. Πῶς δὲ μείνωμεν; ἐκεῖνος καὶ γὰρ μεθ' ὅσων ἀνυποίστων ἀλγηδόνων τῶν ἀπὸ τῆς ποδαλγίας, ὡς καὶ αὐτὸς οἶσθα, οὐκ ὤκνει πρὸς μετάδοσιν τῶν ἐμπιστευθέντων αὐτῷ ταλάντων, πολλάκις καὶ κλινήρης ὤν, καὶ τὸ μέγιστον, ὅτι οὐδὲ ἡ ἀγνωμοσύνη τῶν πολλῶν, τοῦ τοιούτου θεοφιλοῦς ἀπεῖρξεν ἐκεῖνον ἔργου. Οὕτω δὴ καὶ αὐτὸς ποίει, μᾶλλον δὲ ποιῶμεν· φιλοπόνως μετάδος τῶν ἐν σοὶ σπουδασμάτων· ἀχαριστία καὶ γὰρ πικρὸν δοκεῖ καὶ οὐκ οἰστὸν τοῖς ἀφιλοσόφοις τὸν τρόπον, καὶ τοῖς ἐνταῦθα μόνον ἐλπιζομένοις κεχηνόσιν, ἀλλ' ἐν οὐρανοῖς μειζόνων ἀξιοῖ τῶν γερῶν τοὺς ταύτην παρ' οὐδὲν τιθεμένους. Τὸ γάρ, ἀνθ' ὧν τις εὖ δρᾷ, χάριτος ἐνταῦθα τυχεῖν ἐπικήρου, τῶν ἐκεῖθεν ἀκηράτων ἀπαξιοῖ χαρίτων· καὶ τοῦτό φημι, ὅτι πολλοὺς τὸ ἐπάρατον τοῦτο πάθος ἀμεταδότους πεποίηκε τῶν ἐν αὐτοῖς καλῶν· ἐμφωλεύει καὶ γὰρ ἀγνωμοσύνη ὡς τὰ πολλὰ πᾶσι τοῖς εὖ πεπονθόσι· διὸ καὶ δημώδης λόγος παραινεῖ· «Ὦ ποιήσεις καλόν, κακὸν ἔκδεξαι παρ' αὐτοῦ». Καὶ ταῦτα μέν σοι ἔστω παραμυθία μικρά τε καὶ ἀσθενὴς ὡς πρὸς τὴν σὴν φιλοπονίαν παρὰ τοῦ σοῦ

Γερασίμου τοῦ ἀπαρακλήτου, καὶ ἄλλους παρακαλοῦντος. Τὰ δὲ λοιπὰ χαρίζοιτό σοι ὁ Κύριος τὸ ζῆν εἰς μακραίωνας ταῖς ἄνωθεν ἐντεύξεσι τοῦ κοινοῦ πατρὸς καὶ διδασκάλου εἰς ζῶν παράδειγμα σωφροσύνης τε καὶ τοῖς λοιπῆς ἀγλαΐας τῶν ἀρετῶν, καὶ μετάδοσιν τῶν καλλίστων σοι φιλοπονημάτων, ὧντε ἀπεδρέψω παρὰ τοῦ μεταστάντος, ὧντε παρὰ τοῦ λογίου καὶ ὄντως φιλοσόφου κυρίου μοι Κωνσταντίνου, τοῦ νῦν κοινοῦ ἡμῶν πατρός τε, καθηγεμόνος τε καὶ ἀπροφασίστου παρακλήτορος.

Γ'.

[ΑΔΗΛΩι ΣΥΜΜΑΘΗΤΗι]

Πεφοίτηκέ μοι τὰ σὰ παρακλητικά, μᾶλλον δὲ συναλγητικὰ γράμματα, βαθυτάτῃ ἀθυμίᾳ κατεχομένῳ τῇ ἀπὸ τῆς μεταστάσεως τοῦ κοινοῦ πατρὸς ἡμῶν καὶ διδασκάλου, καὶ παρακλήτορος, ἐν οἷς οὐ μόνον σαυτὸν παρέσχες συλλυπούμενον τῷ σῷ Γερασίμῳ, ἀλλὰ καὶ παρακαλοῦντα, ὅπερ οὐκ ὀλίγον ἦν ἀπὸ τοῦ ἄλγους μοι σκοτόμαιναν ἀπεσκέδασε· πέφυκε γὰρ ὁ ἀθυμίᾳ κατεχόμενος διαχεῖσθαί πως καὶ ἀνακουφίζεσθαι τοῖς ἀπὸ τοῦ ἄλγους τῶν φίλων παραμηθητικοῖς λόγοις· πρὸς δὲ καὶ αἴσθησιν ἔχοντα τῶν καλῶν παρέστησας σεαυτὸν ἐναργῶς. Τί γὰρ καὶ ἄλλο βούλεται τὸ οὕτω θρηνεῖν σε, καὶ κρουνοῖς δακρύων περιῤῥεῖσθαι, ἢ τὸ ἔχειν αἴσθησιν τῶν ὧν δεῖ, κατὰ τό· «Ὀπροστιθεὶς γνῶσιν προστίθησι καὶ ἄλγος»; Τοῦτο λαμπρῶς ἐναπέφηνας ἐν τοῖς πρὸς ἐμέσου γράμμασι· τὸ δέ σε ὀδύρεσθαι, ὅτι οὐκ ἔχεις ἔτι τὴν παραμυθητικὴν ἐκείνην γλῶτταν, καὶ παραινετικὴν τῶν καθηκόντων, τοῦτο μηκέτι εἴπῃς· οὐ γὰρ συναπῆρε τοὺς παρακλητικοὺς ἐκείνους λόγους αὐτῇ, ἀλλὰ νῦν καὶ πλέον ἔσται παρακλητικὴ ἡ εὔλαλος ἐκείνη καὶ λιγυρά μοι γλῶττα, οἵστε διὰ βίου συνεγρόψατο λόγοις, οἵστε διὰ ζώσης φωνῆς ἡμῖν ὑφηγήσατο· πρὸς δέ, καὶ ἔτι πλέον ἔφην νῦν, ἅτε δὴ πλησιέστερον γεγονυῖα ἐκείνη ἡ ὄντως μακαρία ψυχὴ τῷ ἀνεσπέρῳ φωτὶ τῆς τρισηλίου θεότητος, μᾶλλον ἐκεῖθεν ἐκπέμπει ἡμῖν τοὺς παρακλητικοὺς λόγους, ταῖς πρὸς αὐτὴν ἐντεύξεσι. Διά τοι τοῦτο μηκέτι ὑποβρύχιος γίνου ἀθυμίᾳ, ὡς ἀφῃρημένος τῆς ἀπ' ἐκείνου παρακλήσεως· ἀλλὰ μέμνησο μόνον ὧν ἀμέσως παρ' αὐτοῦ ἤκουσας· καὶ τοῦτο ποιῶν, ἔχεις αὐτὸν ἄνωθεν ἀντιλαμβανόμενόν σου καὶ παρακαλοῦντα κρεῖττον ἢ κατὰ σωματικὴν παρουσίαν. Ταῦτά σοι ὁσὸς ἀπαρακλήτωρ [ἴσ. *ἀπαράκλητος*] Γεράσιμος, κατά γε τὸ στενὸν τοῦ καιροῦ. Τὸ δὲ ἑξῆς εἶης μοι ὑγιαίνων κατ' ἄμφω τὸν ἄνθρωπον, ἀρετῆς ἁπάσης τῆς ὀφειλομένης ἀνδρὶ φιλοσόφῳ ἀντιποιούμενος, εἰρηνεύων πρὸς πάντας τούς τε οἰκείους καὶ ἀλλοτρίους ὅπως σχοίης τὰ βραβεῖα παρὰ τοῦ εἰρηνάρχου Χριστοῦ ἀκήρατα καὶ ἀμάραντα τῆς πρὸς αὐτὸν μιμήσεως.

Δ'.

ΤΩι ΠΡΩΗΝ ΑΡΤΗΣ[1]

www.libtool.com.cn

Ποῦ ἐστι νῦν ὁ θρηνητὴς τῶν προφητῶν Ἱερεμίας, ὅπως δανείσῃ μοι πηγὰς δακρύων πολυχεύμονας, ἵνα κλαύσω τὴν ἐμὴν ὀρφανίαν. Μετέστη τῶν τῇδε ὁ ἐμὸς πατήρ τε καὶ διδάσκαλος, καὶ σὸς γνήσιος καὶ ἀκαπήλευτος φίλος· ᾧχετο ἐξ ἀνθρώπων ἀωρὶ Μακάριος, φημί, ἡ τῶν θεολόγων ἀκριβεστάτη διόπτρα, ὁ ἀκαταγώνιστος ὑπέρμαχος τῶν ὀρθῶν δογμάτων, ὁ ἀκριβὴς φύλαξ τῶν ἐθῶν τε καὶ νόμων τῆς ἀνατολικῆς Ἐκκλησίας, ἡ ἔμψυχος ἰδέα τῆς τε ἔσω καὶ ἔξω φιλοσοφίας, ὁ κόσμος τῶν διδασκάλων, τῆς καλλιεπείας τοῦ καθ' Ἕλληνας λόγου τὸ ταμεῖον, ἡ φιλοτιμία τοῦ νῦν δυστυχοῦς γένους, ὁ ἄμισθος διδάσκαλος, ὁ δαπανώμενος μᾶλλον ἢ δαπανῶν τοὺς αὐτῷ προσφοιτῶντας· οἴχεται, φημι, ἡ χάρις τῆς εὐγλωττίας, ὁ παρακλήτωρ τῶν ἐνθλίψεσιν, ὁ τροφεὺς τῶν λιμῷ πολιορκουμένων, ἡ παραμυθία τῶν πολιᾷ καὶ γήρᾳ κατατρυχομένων, ὁ τῶν πόῤῥω καὶ τῶν ἐγγὺς ἀπροφάσιστος ἀλείπτης τῶν ἀποδυομένων πρὸς τὸ τῆς ἀρετῆς στάδιον, καὶ μάλιστα παρακλήτωρ θερμὸς τῆς ὑμετέρας τελειότητος· ἀπέπτη ὁ τοῖς καλοῖς λόγοις κουφίζων σοι τὴν ἀπὸ τοῦ γήρατος δυσχέρειαν· ἀπῆλθεν ὁ ἐπάδων σοι τὰς ἀπὸ τῶν ἱερῶν λογίων ἐπῳδὰς πρὸς κουφισμὸν τῆς ὁπωσδήποτε κατεχούσης σε ἀθυμίας· οὐκ ἔτι ἔχεις πλέον Μακάριον παρακαλοῦντα καὶ ἀνακτώμενόν σε ἐκ τῶν καιρικῶν θλιβερῶν περιστάσεων. Ἀλλ' οὐδὲ ὁ σὸς Γεράσιμος ἔχει πλέον τὸν παρακλήτορα καὶ τροφέα τοῦ κατ' ἄμφω ἀνθρώπου. Διά τοι τοῦτο νῦν ὀρφανίαν ὀδύρεται ἀπαραμύθητον, καὶ δριμυτέραν τῶν κατὰ σάρκα συγγενῶν, καὶ βίον διάγει ἀβίωτον ἐν ταύτῃ τῇ ἀπαρακλήτῳ ἐσχατιᾷ. Διὸ περαιτέρω γράφειν οὐκ ἐπιτρέπει ἡ συνοχὴ τῆς καρδίας καὶ τὰ δάκρυα σφοδρότερον καταῤῥέοντα, οὔτε μὴν τὰ τῆς ἀσθενείας καὶ τὰ τῆς ἐκδημίας ἀφηγήσασθαι αὐτῇ· ἄλλως τε μαθήσῃ παρὰ τοῦ λογίου Δημητρίου ἀκριβῶς. Καὶ ταῦτα μὲν ὁ σὸς ἀπαρακλήτωρ [ἴσ. ἀπαράκλητος] Γεράσιμος. Ὁ δὲ ἐκ νεκρῶν ἀναστὰς Χριστὸς ὁ σωτὴρ ἡμῶν καὶ Θεός, ὁ τὰ ἄῤῥητα δεσμὰ διαῤῥήξας τοῦ Ἅδου, χαρίσοιτο αὐτῇ ἑορτάζειν τὴν κοσμο-

[1] Ὁ ἱεράρχης οὗτος, ὁ κατὰ κόσμον Μαυρομμάτης ἐπονομαζόμενος, ἦν Πάριος τὴν πατρίδα καὶ συμμαθητὴς τοῦ Μακαρίου παρ' Ἰακώβῳ τῷ Μάνῳ. Τοῦ πεπαιδευμένου καὶ ἐναρέτου ἱεράρχου τούτου βιογραφίαν ἐξέδωκε τῷ 1880 ἐν Κωνσταντινουπόλει ὁ Α. Π. Γ. Εὐμορφόπουλος ἐν τῷ *Δελτίῳ τῆς ἑταιρείας τῶν Μεσαιωνικῶν ἐρευνῶν*. Ἦν δὲ λίαν ἀγαπητὸς τῷ Μακαρίῳ καὶ ἐπιστολικὴν μετ' αὐτοῦ εἶχε κοινολογίαν. Ὁ δ' αὐτὸς ἐδωρήσατο καὶ τὴν ἐν τῇ Πατμιακῇ σχολῇ ἀνακειμένην ἔτι εἰκόνα τῶν Τριῶν Ἱεραρχῶν, ὡς δηλοῦσιν οἱ ὑποκάτωθεν αὐτῆς γεγραμμένοι στίχοι οὗτοι :

Νεοφύτου δώρημα τοῦ πρώην Ἄρτης
Σχολῇ τῆς Πάτμου, καθηγητὴν αὐχούσῃ
Ἐν διακόνοις Μακάριον τὸν πάνυ.
Τοὺς φοιτῶντας δὲ σοφίζετ', Ἱεράρχαι.
Ἔτος ἀπὸ Χριστοῦ ᾳψλα'.

σωτήριον Ἀνάστασιν εἰς πολλὰς περιόδους ἡλίου, εἰς παραμυθίαν τῶν ἐν θλίψεσι, καὶ μάλιστα τοῦ σοῦ Γερασίμου, ᾧ αἱ θεοπρεπεῖς αὐτῆς εὐχαὶ εἴησαν παράκλησις καὶ σκέπη ἐν βίῳ παντί.

www.vlassis.com.gr

Ε'.

ΤΩι ΠΡΩΗΝ ΛΗΜΝΟΥ

Πολλοὶ πολλοῖς δάκρυσιν ἔκλαυσαν καὶ ἔτι κλαίουσιν ἀπαραμυθήτως τὴν ἀποβίωσιν τοῦ γνησίου αὐτῆς καὶ κατὰ πνεῦμα φίλου καὶ υἱοῦ, τοῦ ἀοιδίμου Μακαρίου· πολλῷ μᾶλλον, οἶμαι, κλαύσει καὶ ἀλγήσει ἡ ὑμετέρα πανιερότης, τοῦτο μὲν ὡς ἔχουσα αἴσθησιν τῶν καλῶν· ὅπου γὰρ αἴσθησις, ἐκεῖ καὶ ἄλγος· τὸ δὲ ἀνάλγητον εὔθυμον, διὰ τὸ ἀναίσθητον· τοῦτο δὲ καὶ ὡς εἰδυῖα καλῶς, [οἷον ἔνθερμον ὑπερασπιστ]ήν ? τῆς εὐσεβείας ἀφῃρέθη τὸ δυστυχὲς γένος, οἷον φύλακα ἀπαράτρεπτον τῶν ὀρθῶν δογμάτων, κήρυκά τε διαπρύσιον καὶ ἀπροσωπόληπτον, ἰδέαν ἔμψυχον ἀρετῆς ἁπάσης, ἐκμαγεῖον ζῶν τῆς τε καθ' ἡμᾶς καὶ ἔξω φιλοσοφίας, παρακλήτορα τῶν ἐν θλίψεσι, τῶν πεινόντων τροφέα καὶ ἐκ τῶν ὑστερημάτων, ὃ καὶ θαυμάσιον, διὰ τὸ σπάνιον. Παρίημι τ' ἄλλα θεοφιλῆ πλεανεκτήματα, ὅσα προσῆν ἐκείνῳ, ἅπερ καὶ βουλομένῳ περιγράψαι τῷ λόγῳ οὐ συγχωρεῖ τὰ δάκρυα καὶ ἡ ὀρφανία ἡ δριμυτέρα ἐμοὶ φανεῖσα καὶ αὐτῶν τῶν κατὰ σάρκα συγγενῶν. Διά τοι τοῦτο, οὐδὲ τὰ τῆς ἀσθενείας καὶ τὰ τῆς ἐξόδου δύναμαι διηγήσασθαι πρὸς αὐτήν· ἀλλ' ὁ σὸς Ἀθανάσιος, εἰβούλει μαθεῖν ἐπὶ λεπτοῦ, ἔχει ἀφηγήσασθαι ὡς παρὼν ἐνταῦθα. Καὶ τούτων μὲν ἅλις. Ὁ δὲ ἐκ νεκρῶν ἀναστάς, καὶ τὰ κλεῖθρα τοῦ ᾅδου διαῤῥήξας, καὶ χαρισάμενος τῷ γένει ἡμῶν ἀφάτῳ αὐτοῦ καὶ ἀπείρῳ φιλοτιμίᾳ τὴν ἐν οὐρανοῖς πολιτείαν τὴν ἀσυγκρίτως κρείττονα τῆς ἐν παραδείσῳ, δώῃ αὐτῇ ἑορτάζειν τὴν κοσμοσωτήριον ἀνάστασιν μετὰ λαμπρότητος τῶν κατὰ ψυχὴν θεοφιλῶν τε καὶ θεοτερπῶν ἔργων, εἰς καύχημα καὶ ἔμψυχον ἰδέαν τῆς ἀρχαίας ἀρχιερατικῆς πολιτείας, καὶ εἰς παραμυθίαν τῶν ἐν θλίψεσι, καὶ μάλιστα τοῦ σοῦ Γερασίμου, ᾧ αἱ ὑμέτεραι θεοπειθεῖς εὐχαὶ εἴησαν σκέπη καὶ παράκλησις καὶ ἀρωγὴ ἀποσοβητικὴ παντὸς ἐναντίου συναντήματος.

Ϛ'.

[ΚΩΝΣΤΑΝΤΙΝΩι ΓΟΡΔΑΤΩι]

Τὴν σὴν σοφωτάτην καὶ τριπόθητον ἐμοὶ κεφαλὴν περιπτύσσομαι σὺν τῷ Χριστὸς ἀνέστη τῷ σωτηρίῳ ἀσπασμῷ.

Τὰ σοφὰ τῆς σῆς τελειότητος κομισάμενος γράμματα ἐφωδιασμένα βοηθήμασι τῶν ὅσα εἰς ψυχὴν καὶ σῶμα φέρει, ἀπορίᾳ συνεσχέθην οὐ μικρᾷ. Καὶ γὰρ κατ' ἐμαυτὸν ἀνελογιζόμην τίνας σοι χάριτας ἀποτιννύς, κἂν γοῦν μικρόν τι τῆς ὀφειλῆς τῶν τοιούτων σοι ἀπαραμίλλων τῶν πρός με χαρίτων ἀποδεδωκὼς εἴην· καὶ γ' ἐνδίκως· καθάπερ γὰρ ψυχὴ πολλῷ τῷ μέσῳ

τοῦ σώματος διέστηκεν, οὕτω καὶ αἱ πρὸς αὐτὴν κατατιθέμεναι χάριτες κατὰ διάμετρον ὑπερίστανται τῶν εἰς σῶμα τεινουσῶν· εἰ δέ γε συνέλθοιεν εἰς τὸ αὐτὸ ἄμφω, οὐδεμίαν λείπουσιν ὑπερβολὴν χάριτος, καὶ τὸν εὖ παθόντα τοιοῦτον ὀφειλέτην ἐναποφαίνουσι τῷ εὖ δεδρακότι, ὥστε μηδέσιν ἔχειν ποτ' ἑαυτὸν λῦσαι τῆς τοιαύτης ὀφειλῆς, καὶ δὴ τοιοῦτον ὂν τῆς σῆς πρός με εὐποιΐας τὸ φιλότιμον, ἀνέφικτον ἐμοὶ πεποίηκε τὴν ἰσόρροπον πρὸς σὲ ἀντέκτισιν. Διά τοι τοῦτο, ὡς φθὰς ἔφην, ἀπορίᾳ συνειχόμην τίσι σε ἀμείψομαι τῶν πρὸς ἐμέσου πολλῶν ὑπηργμένων χαρίτων, ὅπου γε, πρὸς τῷ ἀπόρῳ τῆς χάριτος, καὶ προσηγορῶν ἀπορῶ τῶν εἰς ἔλεγχον φερουσῶν τῶν τοιούτων· κἂν γὰρ τροφέα ἐμὸν καλέσω σε, κἂν προστάτην τοῦ βίου, κἂν παρακλήτορα, κἂν φίλον ἀκαπήλευτον, ἀπροφάσιστον, κἂν καὶ ὅσα συγγενικῆς σχέσεως, πολλοῦ γ' ἀποδέω τῶν πρὸς ἀξίαν κλήσεων. Καὶ τούτων γὰρ ἁπάντων κρείττων φαίνῃ μοι ἐν ταύτῃ τῇ ἀπαρακλήτῳ ἐσχατιᾷ. Ἀλλ' οὖν γε κἀνταῦθα ἀναμνησθεὶς τῆς ἀοιδίμου ἐκείνης καὶ μακαρίας ψυχῆς, οὐ μικρὸν ἀνεκουφίσθην τῆς κατεχούσης με λύπης, διὰ τὸ ἄπορον τῆς εὐγνωμοσύνης· πολλάκις καὶ γάρ με ἔλεγε περὶ σοῦ, ὅτι οὐ πρὸς χάριν ὁρᾷ τὸ τοῦ Κωνσταντίνου μου ἐλεύθερον· ἄμισθον γὰρ ἔχει τὸ φιλότιμον τῆς χειρός, ἅτε ἐραστὴς διάπυρος ὢν τῆς φιλανθρωπίας τοῦ τὰ ἐπίκηρα τοῖς ἀκηράτοις ἀμείβοντος, καὶ ποτήριον ψυχροῦ ἀγέραστον οὐκ ἰῶντος· αὐτὸς ἄρα, φημί, ἀντιμέτρήσει σοι καὶ τὸ παρ' ἐμοῦ ὄφλημα καὶ ἔργῳ καὶ λόγῳ· λόγῳ μέν, ἀνακηρύξει σε ἐν τῷ πανδήμῳ ἐκείνῳ θεάτρῳ, ὅτι οὗτος μόνος τῆς ἐμῆς φιλανθρωπίας ζηλωτής· εὐηργέτει καὶ γὰρ δίχα ἐλπίδος ἀμοιβαίας χάριτος· ἔργῳ δέ, τάξει σε τῷ χορῷ τῶν ὄντως φιλοσόφων, Ἰουστίνουτέ φημι τοῦ καὶ μάρτυρος καὶ τῶν παρὰ τῷ Θεολόγῳ ἐπαινουμένων. Καὶ ταῦτα μὲν οὕτως· ὁ δὲ ἐκ νεκρῶν ἀναστάς, καὶ τὰς χαλκᾶς πύλας τοῦ ᾅδου αὐταῖς κλεισὶ συντρίψας, δώῃ σοι ἑορτάζειν τὰς λαμπροφόρους ταύτας ἡμέρας σὺν εὐθυμίᾳ καὶ ῥώσει διηνεκεῖ εἰς μακραίωνας πανοικί.

Ζ'.

Τέκνον φίλτατον καὶ ἐλλόγιμον, καὶ φιλεργόν, Νικόλαε, ἀσπάζομαί σε τῷ κοσμοσωτηρίῳ ἀσπασμῷ τῷ Χριστὸς ἀνέστη.

Οἶδα τοὺς σοὺς μυρίους πόνους, οὕστινας καταβάλλεις ἀτρύτως τῇ μεταδόσει τῶν μαθημάτων ὑπὲρ τῆς ἐπιδόσεως τῶν χρυσῶν παίδων, τῶν καλῶν τε κἀγαθῶν γεννητόρων, οὕστινας καὶ ἀσπάζομαι εὐχόμενος αὐτοῖς τὰ εἰς βελτίωσιν τείνοντα, οὐδὲ τὰς ἄλλας σοι ἀσχολίας ἀγνοῶ. Διά τοι τοῦτο ἔχε θυμὸν ἀγαθόν, καὶ ἐκτὸς ἀγωνίας ἔσο, μηδὲν ἀπρόσφιλον, οὐδὲ ἀφιλόσοφον περὶ ἐμὲ ὑπονοῶν, ὅτι οὐ παρὰ πόδας μοι ἀντεπέστειλας· μὴ γὰρ οὕτω φρενῶν ἐκσταίην, ὥστε μὴ ἔχειν διαγινώσκειν τίνας μὲν τῶν φίλων μεμπτέον ὑπερημερίας γραμμάτων, τίνας δὲ λήθης διωκτέον τοῦ φιλικοῦ καθήκοντος, ὅπερ ἄντικρυς πάσχουσιν οἱ ἀφιλόσοφοι τὸν τρόπον, καὶ τὸ φιλεῖν τῷ θαμι-

νῶς ἐπιστέλλειν ὁρίζοντες· μηδὲ γ' ἀνιάτω σε τό, ὅτι ἐπιλήσομαί σου ὅπου περ ἂν εἶῃς τῆς γῆς· θᾶττον γὰρ ἂν ἐμαυτοῦ ἐπιλήσμων γενοίμην, ἢ τῶν φίλα μοι φρονούντων. Τὸ δὲ ἐν ταῖς πρὸς Θεὸν ἐντεύξεσιν ὑπὲρ σοῦ μνείαν ποιεῖν, χρέος ἀπαραίτητον, οὐ μόνον ἐμοί, ἀλλὰ καὶ πᾶσιν οἷς μικρά τις γνῶσις ἔνεστι τῶν κανονικῶν ἐνταλμάτων, ἅτε ὑπὲρ τοῦ κοινῇ συμφέροντος πονοῦντος. Σὺ δέ μοι μὴ ξενίζου ἀκούων τοῦ κοινῇ συμφέροντος· οἱ γὰρ τὴν μυρίων κακῶν πρόξενον ἀμάθειαν ἐξοικίζειν τῶν ψυχῶν σπεύδοντες, καὶ τὸν ἀνθρώπινον βίον παιδείᾳ ἀγαθύνειν πειρώμενοι, ὑπὲρ τοῦ κοινοῦ πάντως πονοῦσιν, ἀληθείας δικαζούσης. Διὸ καὶ ἐπαινῶ τὸν εἰπόντα, τοὺς τὰς πολιτείας ἀνδρῶν φιλοσόφων πληροῦντας, οὐκ ἔστιν ὅτῳ ἄντις τῶν ἐν παντὶ τιμίων ἀνταμείψειεν· οὐδὲν γὰρ οὕτω λυμαίνεται τὰς πολιτείας, ὡς οἱ τῶν μαθημάτων ἄγευστοι, καὶ τὸ κρατοῦν ἀφιλοσόφως ἔχον· ἐκ τουναντίου δέ, οἱ παιδείας ἀντεχόμενοι, πολλῶν καλῶν τε κἀγαθῶν παραίτιοι ταῖς πολιτείαις γίνονται, εἰ μόνον ἄνθρωποι εἶεν οἱ τῆς παιδείας τρόφιμοι, καὶ τοῦ *Γνῶθι σαυτὸν* ἀπρὶξ ἔχοιντο, ἀλλὰ μὴ ἀνδράποδα τῆς ἐπαράτου φιλαργυρίας, καὶ λάφυρα τύφου. Καὶ ταῦτα μὲν οὕτως· εἴης δέ μοι ἑορτάζων τὰς κοσμοσωτηρίους ἡμέρας τῆς ἀναστάσεως εἰς πολλοὺς λυκάβαντας συνάρσει τοῦ ἐκ νεκρῶν ἀναστάντος Χριστοῦ.

Η'.

[ΚΩΝΣΤΑΝΤΙΝΩι ΓΟΡΔΑΤΩι]

Τὴν σὴν ἐλλόγιμον καὶ πατρικὴν ἀσπάζομαι κεφαλήν.

Μεθ' ὅσης πλείστης εὐφροσύνης καὶ παρακλήσεως ἐπῆλθον τὰ σοφὰ αὐτῆς γράμματα, ἅτε ὄντα ἐξαγγελτικὰ οὐ μόνον τῆς φίλης καὶ σωστικῆς ἐμοὶ ῥώσεως αὐτῆς ἀλλὰ καὶ δηλωτικὰ τῆς πρός με διακαοῦς αὐτῆς ἀγάπης. Πῶς γὰρ οὔ; ὅπου γε καὶ τοσούτοις περισπασμοῖς περιστοιχιζόμενοι ἡ σὴμοι τελειότης, τῆς ἀπὸ τῆς μετοικήσεως εἰς τὰ προάστεια, οὐκ ἀνέχεται μέν τοι οὐδ' οὕτω μικρὸν γ' ἀπροσαύδητον παριδεῖν τὸν ἑαυτῆς Γεράσιμον. Διά τοι τοῦτο αὐτὸς ἐπὶ τούτῳ μᾶλλον χαίρω καὶ ἐναβρύνομαι ἢ Πηλεὺς ἐκεῖνος ἐπὶ τῇ μαχαίρᾳ [1], εἰ δὲ βούλει, καὶ Γύγης ἐπὶ τῇ σφενδόνῃ τοῦ δακτυλίου [2]. Καὶ ταῦτα μὲν οὕτως. Τὰ δὲ τοῦ ἀνεψιοῦ τοῦ κοινοῦ ἡμῶν δεσπότου παρὰ πόδας ᾠκονόμησα, ὡς ἠξίωσας, δν ἀποστήσας τοῦ πρὶν παρ' αὐτῷ ἀπευκτοῦ παιδαγωγοῦ, οἰκονόμῳ τινὶ καὶ ἐπιστάτῃ ἐνεχείρησα, ἀνδρὶ σεμνῷ, καὶ φιλοσόφῳ ἦθος μᾶλλον ἢ παιδείαν· παιδαγωγὸν γὰρ ἢ ὑποδιδάσκαλον οὐκ ἔτι ἀνέχεται ὁ παῖς ἔχειν· ἀλλ' ἀποτροπιάζεται, ὅλως σειριῶν καὶ πρὸς αὐτὸ τοὔνομα, ἅτε ἐλευθεριάζων καὶ καθ' ἑαυτὸν διάγειν βουλόμενος. Ἐγὼ δέ, ἵνα μὴ ὡς πῶλος ἄνετος περιοδεύῃ, ἐσοφισάμην τὸν παῖδα αὖθις ὑπ' οἰκονόμῳ τελεῖν, καὶ δίχα τῆς βουλῆς ἐκείνου

[1] Ἴδε Ἀπολλοδ. Βιβλιοθ. Γ', ιγ'. 3.

[2] Ἴδε Πλάτ. Πολιτ. Β'. γ'.

οὐδὲν πράττειν· καὶ οὕτως ὠκονόμησα τὰ περὶ αὐτοῦ καὶ πόνους οὐκ ὀλίγους καταβάλλω περὶ τὴν ἐπίδοσιν αὐτοῦ, ὡς με πολλάκις καὶ διὰ ζώσης φωνῆς καὶ γραμμάτων τοῦτο πράττειν ἠξίωσας, καὶ ἰδίᾳ καθ' ἑκάστην παροτρύνω παραβάλλειν τῷ ἐμῷ καταλύματι, ὅπως τι τῶν εἰς κτῆσιν παιδείας τεινόντων διδάξω αὐτόν· ὁ δὲ παῖς οὐδ' ἅπαξ τοῦ μηνὸς προσφοιτᾶν ἀνέχεται. Περὶ δὲ τῆς οἰκονομίας τοῦ παιδὸς ἐπέστειλα καὶ τῷ δεσπότῃ τὰ εἰκότα. Καὶ ταῦτα μὲν οὕτω· τὰς δὲ κανδήλας, εἴσοι σχολή, δὸς τῷ ἐπιφέροντι τὰ παρόν· εἰ δὲ μή, ὅτε σοι βουλητόν. Τὰ δὲ ἑξῆς εἴης μοι ἐρρωμένος καὶ εὐθυμῶν ἐς μακραίωνας. Πάντας κατ' ὄνομα τοὺς περὶ αὐτὸν ἀσπάζομαι, καὶ μάλιστα τὸν ἐμὸν ἀκέστορα.

Θ'.

Τῷ πανιερωτάτῳ καὶ λογιωτάτῳ μητροπολίτῃ τῆς ἁγιωτάτης μητροπόλεως Χίου κυρίῳ κυρίῳ Δανιήλ, τὴν μετὰ πάσης εὐλαβείας δουλικὴν προσκύνησιν.

Τὰ πανίερα αὐτῆς καὶ σοφὰ γράμματα ἐπελθόντα οὐ μετρίαν ἐμοὶ ἐμνηστεύσαντο παράκλησιν καὶ εὐφροσύνην· καὶ γὰρ οὐ μόνον ἐτύγχανόν γ' ὄντα ἀνάμεστα τῆς χριστομιμήτου αὐτῆς ταπεινοφροσύνης, ἀλλά γε καὶ εὐχῶν ἀρχιερατικῶν μετά γε τῆς μνήμης τοῦ ἐμοῦ ἀσιδίμου πατρός τε καὶ διδασκάλου, οὗ μνείαν ποιεῖν ἐν ταῖς ἀναιμάκτοις θυσίαις καὶ λιταῖς ταῖς πρὸς τὸν Κύριον λιπαρὴς αὐτῇ προσκάθημαι ἱκέτης. Ἔτι τε χαρᾶς ἐμοὶ οὐκ ἐλάττονος πρόξενος καὶ ἡ μέριμνα τῆς ἐπιδόσεως κατά τε παιδείαν καὶ ψυχὴν καὶ σῶμα τοῦ ἀνεψιοῦ αὐτῆς, ἣν οὐκ ἐν παρέργου μοίρᾳ τίθεμαι, καίτοι περιστοιχιζομένη ἀλλεπαλλήλοις φροντίσι τοῦ ἐμπιστευθέντος αὐτῇ ποιποιμνίου, ὅπερ, ὡς ἐμαυτὸν πείθω, πολλῶν ἀναρρήσεων καὶ γερῶν ἄξιον. Πρὸς ταῦτα καὶ αὐτὸς ἀφορῶν τὴν δυνατὴν καταβάλλω σπουδὴν περὶ τὴν βελτίωσιν οὐχ ἧττον τῶν μαθημάτων ἡ εὐκοσμίας τε καὶ σεμνότητος ἠθῶν. Διά τοι τοῦτο παρὰ πόδας τῶν γραμμάτων αὐτῆς ἀποστήσας τοῦ πρὶν ὑποδιδασκάλου ἑτέρῳ τινὶ καὶ σεμνῷ καὶ ὄντως φιλοσόφῳ τὸ ἦθος ἀνδρὶ ἐνεχείρισα τὸν παῖδα, οὐχ ὡς παιδαγωγῷ, ἀλλ' ὡς οἰκονόμῳ, καὶ ὡς εἰπεῖν ἐπιτρόπῳ. Ὁ γὰρ παῖς οὐ προσίεται ἔτι ὑπὸ παιδαγωγῷ ἢ ὑποδιδασκάλῳ τελεῖν, ἐλευθεριάζων πάντῃ, καὶ ζῆν καθ' ἑαυτὸν γλιχόμενος· ὅθεν οἰκονομικῶς ἐγὼ οὕτως ἐσοφισάμην πάλιν τὸν παῖδα ἐν ὑπακοῇ διάγειν καὶ ἐπιστασίᾳ· καὶ τοῦτό γ' οὕτως ὠκονόμησα, εὖ εἰδὼς ὅτι νεότης παραινέσεως δίχα προστάτου ἀφηνιάζει περὶ τὴν τῶν μαθημάτων φιλοπονίαν, καὶ ἀλογίστως φέρεται πρὸς ἃ μὴ δεῖ, ἅτ' οὐχ οἷά τε οὖσα ἀφ' ἑαυτῆς τά τε καλὰ τῶν φαύλων διαγινώσκειν· ἀνθ' ὅτου γε ῥυτῆρος δεῖ αὐτῇ, καθάπερ ἀγερώχῳ ἵππῳ, ὅπως τῶν φαύλων ἀνασειράζηται, καὶ τῶν ἀθυρμάτων ἀναχαιτίζηται. Καὶ τοῦτο γ' οὐ καινόν, ἀλλὰ παρεπόμενον τοῖς ἀηθέσι· καθάπερ γὰρ βοῦς ἀπειρόζυγος βουπλῆγος δίχα τὸν ζυγὸν ἕλκειν ἀποσείεται, οὕτω τοι καὶ τὸ ἀκραῖον, ἐπιτιμήσεως καὶ μάστιγος δίχα τὸν αὐχένα τῷ ζυγῷ τῆς

παιδείας ὑποκλίνειν ἀπαναίνεται. Καὶ ταῦτα μὲν οὕτως· διὸ λίαν ἀντιβολῶ τὴν ὑμετέραν πανιερότητα ἐπιστέλλειν ἰδίᾳ τῷ οἰκονόμῳ, ᾧ ὄνομα Μελέτιος ἱερομόναχος, προτρέπουσα αὐτὸν εἰς τὴν τοῦ παιδὸς κηδεμονίαν, καὶ τῷ ἀνεψιῷ ὅπως ἔχῃ αὐτῷ εὐπείθειαν, καὶ δίχα τῆς βουλῆς καὶ εἰδήσεως αὐτοῦ μηδὲν ποιεῖν. Ἐγὼ δέ, καίτοι ἐπαντλούμενος πολλαῖς φροντίσι διὰ τὴν ὀρφανίαν, ὅμως τὴν δυνατὴν φροντίδα καταβάλλω ὑπὲρ τοῦ παιδός· καὶ τοῦτο μὲν ποιῶ ὡς χρέος ἐμοὶ ἀπαραίτητον, ἄλλως τε καὶ τοῦ κυρίου μου Κωνσταντίνου καὶ ἐμοί, τό γε νῦν εἶναι, κηδεμόνος τε καὶ προστάτου καθ' ἑκάστην ἐν τοῖς πρός με γράμμασι πρὸς τοῦτο παροτρύνοντος, καὶ διὰ ζώσης ἔτι φωνῆς, ὅτε ἐνταῦθα τὰς διατριβὰς ἐποίουν. Καὶ ταῦτα μὲν οὕτως· αἱ δὲ πανίεροι αὐτῆς εὐχαὶ καὶ εὐλογίαι εἶησαν ἐμοὶ σκέπη τε καὶ χειραγωγία πρὸς τὰ ὄντως πρακτέα.

ᾳψλζ'.

Γ'.

Τῇ τριποθήτῳ μοι κεφαλῇ ὑγείαν καὶ τὴν ἐξ ὕψους ἀντίληψιν.

Ἥσθην σου τοῖς γράμμασιν ἐντυχών, καὶ τὸ πολὺ τῆς ἀνίας ἀφῄρημαι· ὑπερεθαύμασα γάρ σου τὸ φιλόσοφον, τὸ καρτερικὸν καὶ ἀνένδοτον. Τὸ μὲν γὰρ οὐδ' ὁπωσοῦν ἐπὶ τῷ διδασκάλῳ παθεῖν, τῆς σῆς ἐπιεικείας ἀλλότριον καὶ χρηστότητος· τὸ δὲ μὴ ὅλως ἐμμένειν τῷ πάθει, ἀλλὰ σκεψάμενον, ὅτι τὸ τῶν τῇδε ἀπαλλαγῆναι ὀνόματι μᾶλλον φοβερὸν ἢ πράγματι, καὶ μάλιστα τοῖς τὴν κατοικίαν εἰδόσι προκρίνειν τῆς παροικήσεως, καὶ γλιχομένοις ταύτης ἀπαλλαγέντας ἐκείνης κατατρυφᾶν. Τί γὰρ ἐκείνοις καὶ σκιαῖς, ὀνείρων οὔσαις ἀπαγεστέραις, καὶ οὔτε τὸ λυποῦν, οὔτε τὸ εὐφραῖνον καρπουμέναις ἀκίβδηλον; Ἀνδρὸς πεπαιδευμένου τὰ θεῖα, καὶ οὐδὲν ἧ ταῦτα μελετῶντος, καὶ τὰ ὄντα οὐ τῇ αἰσθήσει, ἀλλὰ καθαρῷ τῷ νοῒ ὑπερανεστηκότι τῶν ἄλλων κρίνοντι, ὁποίαν καὶ τὴν σὴν λογιότητα ἡ μετὰ τοῦ ἀοιδίμου ἐκείνου πατρὸς χρόνιος διατριβὴ ἀπεφήνατο. Στομώσασα γάρ, ὥσπερ βαφὴ σίδηρον, ταῖς πολλαῖς καὶ ἀδιακόποις ἀφηγήσεσιν, ἄξιον τῆς αὐτοῦ διαδοχῆς γνωσθῆναι ἐποίησεν. Οἶμαι καὶ τὴν θείαν πρόνοιαν, μὴ ἐπὶ πολὺ λανθάνειν τὴν ἀρετὴν βουλομένην, ἐκεῖνον μὲν τὰς ἀμοιβὰς τοὐντεῦθεν καρποῦσθαι τῶν πόνων, οὓς ἀνέτλη γενναίως ὑπὲρ τοὺς νῦν ἅπαντας, τοῖς πάλαι θείοις ἀνδράσιν ἀμιλλώμενος, καὶ ἀρετῇ καὶ παιδείᾳ τὸ δυνατὸν ἀνθρώπῳ κοσμούμενος, τῶν τῇδε ἀλγεινῶν ἀπαλλαγέντα εὐδοκῆσαι· σὲ δὲ μηκέτι ἀγνοούμενον, ἀρίδηλον τὴν ἐνοῦσαν καὶ χρόνῳ μακρῷ ἀποταμιευθεῖσαν ἐργάσασθαι. Χαίρω τοίνυν ἐμοὶ μὲν τὸ δυνατὸν εἰς τὴν σὴν παραμυθίαν συνεργήσαντι· οἶμαι γὰρ χαρίζεσθαι κἂν τούτῳ οὐ μικρὸν τῷ ἀποιχομένῳ, ἐκείνῳ δὲ ὅτι ζῇ ἤδη ζωὴν τῆς προτέρας διπλασίονα· τῇ μὲν τῇ ἀνεκλαλήτῳ χαρᾷ ἐντρυφῶν, τοῖς ἁγίοις, οὓς ἐμιμεῖτο, συνδιαιτώμενος· τῇ δὲ Γερασίμῳ τῷ φιλτάτῳ ἐμπρέπων, καὶ οὐδὲν ἀλλ' ἢ τὰ συνήθη καὶ φίλα

διαπραττόμενος. Εἴη κἀμοὶ ἐπὶ τοιαύταις ἐλπίσι μεταστάντι τῶν ἀναμφιλέκτως ἐλπιζομένων τυχεῖν. Σύ δέ μοι ἡ ἱερὰ κεφαλή, τῆς προθέσεως ἀμεταστρεπτὶ ἀντεχόμενος γίγνου τοῖς προσπίπτουσιν ἀλγεινοῖς ὡς σκόπελος ἄλλος, ὃν οὐδαμῆ τὰ ἀλλεπαλλήλως πανταχόθεν συῤῥέοντα κύματα κατὰ τὴν ποίησιν[1]· πολλὰ γὰρ εἰκὸς ἀπαντᾷν σοι τοιαῦτα τοῖς ἔμμονον τὴν ἀρετὴν κεκτημένοις δοκίμια. Ἐγὼ δὲ καὶ τῷ σώματι ἀπών, ἀλλ' οὖν τῇ ψυχῇ ἀχω[ρι]στος συνὼν οὐδαμῆ ἀπολείψομαι συμπράττων σοι τοῖς χρειώδεσι κατὰ δύναμιν.

Ἔῤῥωσο. αφλζ'. Φεβρ.

Τὸν τριπόθητον κὺρ Ἀρσένιον ἥδιστα προσαγορεύων μεγίστας αὐτῷ σῖδα τὰς χάριτας τῆς τε πρὸς σὲ εἰλικρινοῦς διαθέσεως, τοῦ πρὸς ἐμέ τε φίλτρου, τῆς περὶ τὰ καλά τε ῥοπῆς, καὶ πρὸ πάντων τοῦ ἀκριβῶς μοι ὑποτυπῶσαι τὸν τρόπον τῆς τοῦ ἀοιδίμου ὑμῶν πατρὸς μεταστάσεως.

Ὅλος αὐτῆς
ΚΩΝΣΤΑΝΤΙΝΟΣ

ΙΑ'.

Τῇ μακαρίᾳ καὶ τριποθήτῳ μοι κεφαλῇ ἐν Χριστῷ, ὑγιαίνουσαν εὐδαιμονεῖν.

Τοῦ μακαριωτάτου κὺρ Χρυσάνθου τοῖς ἡμετέροις ἐνδημοῦντος τὰ περὶ σφαίρας ἤμην τῷ τῆς καθ' ἡμᾶς σχολῆς διδασκάλῳ παραδιδούς· ἧς δὴ καὶ τὴν καθόλου διδασκαλίαν ἐκ τῶν τοῦ Πρόκλου περάνας, τὰ περὶ τῆς χρήσεως ὅσα τε τῇ μνήμῃ περιφέρειν ἦν, ὅσα τι ὑπὸ τῶν γεγραμμένων Λατίνοις ἀναλέξασθαι (οὐδὲ γάρ μοι τοῦτο μόνον πραγματευόμενον προσεγένετο σύνταγμα), ἀπεστομάτιζον. Τοῦτο μαθοῦσα ἡ ἐκείνου μακαριότης, ὡς ἀλόγου κατεφρόνει τοῦ ἔργου, καὶ δεῖσθαι τὴν διδασκαλίαν ἔλεγεν ἀρχετύπου τινός, δι' οὗ ἐμὲ μὲν μὴ ἀμνημονοῦντα παραλιμπάνειν πολλὰ τῶν ἐπ' αὐτῇ ζητουμένων, καὶ ἔχειν καὶ τὸν ἀκούοντα, εἰς ὃ ἀφορῶντα ἀνακυκλεῖν τὰ λεχθέντα, καὶ μὴ ἐᾶν ἀπορῥεῖν τῆς μνήμης ἐξίτηλα, τῷ χρόνῳ γινόμενα. Ὤκνουν τὴν ἀρχὴν τοῦ ἔργου ἐφάψασθαι καὶ τῆς ὀλιγομαθείας μου θεατρίσαι γνωρίσματα. Ἐγκειμένου δ' ἐκείνου, ὑπέστην τὸν πόνον· τί γὰρ καὶ ποιεῖν ἔμελλον ἀδυσωπήτως προστάττοντος; Καὶ δὴ περάνας εἰς τὴν Κωνσταντίνου ἀπέστειλα διατρίβοντι· ἦν γὰρ καὶ τοῦτο προστεταχώς. Ὁ δὲ οὐδὲ τῶν ἐλαχίστων ὀλιγωρῶν, τύποις ἐκδοὺς ἔπεμψε τῶν τυπωθέντων οὐκ ὀλίγα καὶ εἰς ἡμᾶς. Τούτων ἄττα πέμπω καὶ τῇ ὑμετέρᾳ τελειότητι, οἶδα μὲν ὡς ἄχρηστα τὸ ὅλον, καὶ μονονοὺ ταύτῃ ἄχθος ἀνωφελές· τοῖς τελείοις γάρ, καὶ νοῦν καὶ ψυχὴν τρέφουσιν ἐμφιλοχωροῦσα, τὰς πολυασχόλους ταύτας (ἵνα κατὰ τὸν μέγαν ἐκεῖνον εἴπω) παρορᾷ ματαιοπονίας, εὖ πράττουσα· ἀλλ' ἵν' ἔχῃ γνῶναι μὴ πάντῃ σχολάζοντα, καὶ τὸ λεγόμενον ἀέρα δέροντα, καὶ βιοῦντα εἰκῇ· ὅτι δ' ἀδικεῖ με ἡ σή μοι τελειότης, καὶ ἀνταδικουμένη.

[1] Ἐλλιπὴς φαίνεται ὁ λόγος.

ἴσως, μηδ' ὅλως γράφουσα, εἰδυῖα καλῶς μὴ ὀλιγωρεῖτω πάντῃ τοῦ δέοντος. Εἰκὸς γὰρ μᾶλλον ἐμοῦ τοῦ δικαίου φροντίζειν καὶ τῆς φιλίας αὐτῆς· οἰκειοῦνται γὰρ τοῖς τελειοτέροις τὰ κρείττονα. Εἴη δέ μοι ὑγιαίνουσα εἰς μακραίωνας.

www.libtool.com.cn

ϕψλα'. Φεβρ.

Τοὺς ἀγαπητοὺς κύριον Γεράσιμον καὶ κύριον Κωνσταντῖνον ἀσπάζομαι ἐν Χριστῷ. Ὅλος αὐτῆς

ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΓΟΡΔΑΤΟΣ.

ΙΒ'.

Χάριτος ὅσης μεστὰ ἔδοξεν ἡμῖν εἰ πέρ ποτε τὰ ἀρτίως πεμφθέντα σοι γράμματα, οὐχὶ διὰ τὰ εὐαγγέλια τῶν βίβλων, ἀλλὰ διὰ τὴν ἔμφυτόν σοι πρὸς τὰ καλὰ ῥοπήν, δι' ἣν τῆς τῶν φιλτάτων παιδείας οὐκ ὀλιγωρεῖς, ὅπερ ὅσον ἀναῤῥήσεων πρόξενον, καὶ εὐγενοῦς ψυχῆς, ναὶ μὴν καὶ θεοφιλοῦς γνώρισμα, τοσοῦτον ξένον ἄκουσμα ἐν τοῖς καθ' ἡμᾶς χρόνοις, ἅτε δὴ πάντων τοῖς κατ' αἴσθησιν προσηλωμένων καὶ οἶμαι οὐκ ἀθεεὶ ἀῤῥένων ἠμοίρησας παίδων, ἀλλ' ἵνα τὸ ὑπερβάλλον τῆς σῆς εὐγενοῦς ψυχῆς ἐν ταῖς θηλείαις ὀφθῇ. Εἰ γὰρ τοσοῦτός σε εἶλεν ἔρως τῆς βελτιώσεως ἐκείνων, τίς ἂν εἴης ἐν τοῖς ἄῤῥεσι; Ταῦτά με καὶ τὰ τούτοις ἀδελφὰ ἐνέπλησεν ἀφάτου ἡδονῆς· διὸ καὶ οὐ τὴν τυχοῦσαν κατεθέμην σπουδήν, ὅπως σοι δεξιὸς γενοίμην τῷ θεοφιλεῖ σκοπῷ, ἀλλ' ἀπέτυχον τοῦ ποθουμένου. Πάντες καὶ γὰρ φρίττουσι πρὸς τὴν τῶν θηλειῶν ἐπιστασίαν· ἄλλως γὰρ εὐκταῖον ἦν τοῖς πᾶσι ὁμιλεῖν σοι καὶ συσκηνοῦν· διὸ σύγγνωθι, τῆς ἀποτυχίας οὔσης τῶν οὐκ ἐφ' ἡμῖν. Περὶ δὲ οὗ σημειοῖς τῆς τε ἐκλογῆς καὶ τῶν ἄλλων, πόῤῥω τῆς ἐμῆς διανοίας, ἀλλ' ἄλλως ἐπελθὸν τό, ἰδοὺ ἧκει, γέγραπται· αὐτὸς δὲ τῷ σῷ ἐπαγγέλματι χαριζόμενος καὶ τῇ κοινῇ ἐλεεινῇ καταστάσει, συγκρότει τὰ πρὸς ἐπίδοσιν τῶν μαθητιώντων αὐτόθι, καὶ πάντως γε τῆς προσηκούσης οὐκ ἀποτεύξῃ ἀμοιβῆς, κἂν ἡ παρ' ἀνθρώπων ἀπῇ· τὰς βίβλους κἂν μὴ γράψω οἷς οἶδας πέμψεις, ὅσα δ' ὑπὲρ αὐτῶν καταβαλεῖς, σημείωσον· καὶ γὰρ οὐχ ἡμέτερα τὰ βιβλία, ὡς ὁ ἀδελφὸς τοῦ Ἰωάννου φησίν, ἀλλὰ τοῦ ἀνεψιοῦ ἐκείνου Βασιλείου. Ἴσως δὲ μὴ πάντα ἀλλὰ μέρος, πλὴν ὡς φθὰς ἔφην σημειούσθω τὰ ἀναλώματα. Καὶ γὰρ τῶν προτέρων ἔτι τὰς ἀμοιβὰς ὀφείλομεν. Ὑγιαίνων εἶης μοι ἐν κυρίῳ μετὰ τῶν περὶ αὐτὴν πάντων. Προσειρήσθων δὲ ὡς ἀφ' ἡμῶν καὶ αἱ φιλόμουσοι παρθένοι, καὶ εἰδέτωσαν ὡς οὐ μόνον Θεὸν ἐπαινέτην ἕξουσι τῆς φιλοπονίας, ἀλλὰ καὶ ἡμᾶς τοὺς ἐλαχίστους. Τὸν κοινὸν φίλον κύριον Ἰωάννην πρόσειπε παρ' ἡμῶν, καὶ μηδένα αὐτοῦ τιμήσῃς εἰς ἀποστολὴν τῶν βίβλων· καὶ γὰρ εἴπερ τις καὶ ἄλλος ἐραστὴς αὐτῶν, καίτοι ἰσόῤῥοπον τῇ προθέσει οὐδέποτε ἐχρήσατο τὴν τύχην, ἀλλ' ἄνωθεν ἀντίξουν καὶ ἀντιβαίνουσαν.

Ἔκφρασις Πάτμου ἐν γυμνάσματος εἴδει.

www.libtool.com.cn

Ὦ πολὺ δοθήσεται, πολὺ ἀπαιτηθήσεται[1], ὁ λόγος ἂν ἔφη τῆς ἀληθείας. Ἐμοὶ δέ γ' ἐπιστεύθη τις μικρόν τι δηλαδή, καίτοι, παρ' ἐμοὶ κριτῇ, μέγα, τοιοῦτον ὀρφανία ἐκ νηπίου, τὸ πόλιν ἐκ πόλεως ἀμείβειν, καὶ τὸ τὴν παιδείαν ἐρανίζεσθαι ἥκιστα κατὰ σχολήν, ἀλλ' ἐκ διαλειμμάτων. Διὸ μή μέ τις ἀπαιτήσῃ μέγα ἐν τῇ παρούσῃ τῶν ἐπιστολιμαίων χαρακτήρων γυμνασίᾳ, λόγους, φημί, μακρούς τε καὶ ἡδεῖς, καὶ πρὸς εὐφημίαν τείνοντας ἀνδρῶν σοφῶν καὶ ἀρετὴν τοῦ λέγειν πλουτούντων. Ταῦτα ποιῶν ἀπαιτεῖ πολλὰ παρὰ τοῦ ἐμπιστευθέντος ὀλίγα.

Τοίνυν ἐπαινέσω αὐτὸς ὁ ὀλίγος ὀλίγην, νῆσον μὲν τὴν Πάτμον, φημί, μικρὰν τῇ γῇ καὶ τοῖς ὄρεσι, τ' ἄλλα δὲ ὡς μεγίστην τε καὶ πλουσίαν. «Οὐ γὰρ ἐν τῷ πολλῷ τὸ εὖ, κατὰ τὸν εἰπόντα[2], ἀλλ' ἐν τῷ εὖ τὸ πολύ». Λιμένας, φημί, οὐκ εὐαρίθμους, καὶ ἀκλυδωνίστους, οἷς ἐκόσμησε μὲν αὐτὴν τὸ θεῖον, σώζει δ' αὐτὴ τοὺς παραπλέοντας, πάντοθεν δίκην τινὸς μητρὸς ἀναπεταννύουσα τὰς ἀγκάλας. Παρίημι τὸν ἄλλον αὐτῆς πλοῦτον, ὅσος πρὸς σωτηρίαν φέρει, τὴν ἀξιάγαστον ἐν αὐτῇ μονήν, τὸν σωτήριον τῶν ψυχῶν λιμένα, τοὺς πολλοὺς καὶ καλοὺς ἱεροὺς σηκούς, οἷς πάντοτε ἡ νῆσος περιστοιχίζεται. Ποῦ δὲ θήσεις τὸ ἱερὸν σκῆνος, τὸ ὄντως τερατουργόν, τοῦ ὁσίου Χριστοδούλου; ποῦ τὸ ξενοδόχον σπήλαιον, ἐν ᾧ εἰδέ τε φρικτὰ καὶ γραφῇ παρέδωκεν ἄρρητα ἡ τῶν Ἀποστόλων κορωνίς; ποῦ τὴν ἀμιξίαν τῶν ἐθνικῶν; τὰ ἀρχαῖα ἔθη, τοὺς ἱεροὺς κώδωνας, τὰς ἀδιαλείπτους εὐχάς, τῶν ἐν αὐτῇ οἰκιστῶν τὸ ἀκραιφνὲς τῆς πίστεως; ποῦ τὴν ἀκαδημίαν τὴν ξενοδόχον ὁμοῦ καὶ ἄμισθον, τὸ ὑπόμνημα τῆς πάλαι ποτὲ κλεινῆς Ἑλλάδος καὶ τῶν νῦν φιλολόγων [ἄνωθεν: *καὶ τῶν νῦν μαθητιώντων*] ζώπυρον; Τούτοις Πάτμος κρατεῖ τῶν περὶ αὐτὴν νήσων· τούτοις κοσμεῖται· τούτοις ὡς ὁρμίσκος τισὶν ἀκηράτοις ὡραΐζεται, οὐ κήποις καὶ βοτανῶν ἀφθονίᾳ, αἷς βοτὰ τρέφεται, καὶ ὅσοις οἱ σάρκες ὄντες χαίρουσι. Τούτοις ὅσοι ἐπτόηνται μακρὰ[ν] ἀπέστων Πάτμου. Οἷς δὲ φίλον ζῆν τῷ πνεύματι, δουλαγωγεῖν σάρκα, ψυχὴν λόγῳ τιθηνεῖν, δι' εὐφήμου ἀγέτωσαν γλώττης Πάτμον, καὶ ταύτῃ προσορμήτωσαν· ἡπίως γὰρ αὐτοὺς καὶ προσηνῶς ὑποδέξεται, εἰ μή που τις ξιφήρης Ἰταλὸς συναντήσει.

† Ἰω. Σακκελίων.

[1] Παρὰ τὸ κυριακόν: «Παντὶ δὲ ᾧ ἐδόθη πολύ, πολὺ ζητηθήσεται παρ' αὐτοῦ» [Λουκ. ιϐ', 48].

[2] Δημοσθ. παρὰ Στοϐ. Δ', 51.

ΔΙΚΑΣΤΙΚΑ ΠΑΡΑΔΟΞΑ ΤΟΥ ΜΕΣΑΙΩΝΟΣ

www.libtool.com.cn

ΔΙΚΑΙ ΚΑΤΑ ΤΩΝ ΖΩΩΝ

Αἱ δικαστικαὶ παραδοξολογίαι εἰσὶ διάφοροι καὶ ποικίλαι κατὰ τὸν μεσαίωνα, πολλάκις δὲ βλέπομεν τὴν δικαστικὴν ἐξουσίαν παρεμβαίνουσαν εἰς δίκας τόσον ἀλλοκότους, ὥστε δυσκολευόμεθα σήμερον νὰ ἐννοήσωμεν πῶς τὰ ἐπίσημα ταῦτα δικαστικὰ ὄργανα, ἠδύναντο δεδικαιολογημένως, νὰ διαδραματίσωσι πρόσωπον ἐνεργὸν εἰς τοιούτου εἴδους ὑποθέσεις.

Ἀλλ' ὁ σκοπὸς ἡμῶν δὲν εἶναι νὰ ἐπικρίνωμεν ἐνταῦθα συνηθείας ὅλως παραδόξους, ἀλλ' ἁπλῶς νὰ περιορισθῶμεν εἰς τὸ νὰ ἐκθέσωμεν τὰ γεγονότα ἐξ ὧν ἀποδεικνύονται αἱ τοιαῦται παραδοξολογίαι, ἀφίνοντες τοὺς ἡμετέρους ἀναγνώστας νὰ ἐξαγάγωσιν ἐκ τούτων συμπεράσματα.

Κατὰ τὸν μεσαίωνα κατεδιώκοντο δικαστικῶς καὶ αὐτὰ τὰ ἄλογα ζῷα καὶ αὐτὰ τὰ ἔντομα [1]· ἡ δικαστικὴ ἱστορία τῆς ἐποχῆς ἐκείνης παρέχει ἡμῖν ἄπειρα παραδείγματα τοιούτων δικῶν, καθ' ἃς οἱ κατηγορούμενοι ἦσαν ταῦροι, χοῖροι, ἵπποι, βόες ὦες, μῦς ἀρουραῖοι καὶ μή, ἀλέκτορες, βδέλλαι, κάμπαι, μυῖαι, σκώληκες, ἀκρίδες κτλ.

Ἡ διαδικασία ἣν ἠκολούθουν εἰς τὰς δίκας ταύτας, ἦτο ὅλως διάφορος καὶ ἰδιαιτέρα, οὐχὶ δὲ πάντοτε ἡ αὐτὴ ἐφ' ὅλων τῶν τοιούτου εἴδους δικῶν, ἀλλ' οὐσιωδῶς διέφερεν ὅταν αἱ δίκαι προέκειτο νὰ γείνωσι κατὰ ζῴων δυναμένων νὰ συλληφθῶσι καὶ νὰ προσαχθῶσι σωματικῶς εἰς τὸ Δικαστήριον, οἷον κατὰ ταύρων, ἵππων κτλ., ἢ κατ' ἐντόμων κτλ., τουτέστι κατὰ κατηγορουμένων μὴ δυναμένων νὰ συλληφθῶσι καὶ προσαχθῶσιν ἐνώπιον τοῦ σοφοῦ δικαστοῦ.

Ἐπὶ τοῦ παρόντος θὰ ἀσχοληθῶμεν περὶ τῆς πρώτης περιπτώσεως, του-

[1] Παρ' Ἕλλησι τὸ ἐν Πρυτανείῳ καλούμενον Δικαστήριον ἔκρινε τὸ ἄψυχον τοῦ φόνου ὄργανον, λίθον ἢ ξύλον ἢ σίδηρον ἢ ἄλλο τι τοιοῦτον, ὅπερ τυχαίως ἐμπῖπτον, ἢ ὑπὸ ἀγνώστου ῥιπτόμενον ἐστέρει τινὰ τῆς ζωῆς. Πρῶτος δ' ἐπ' αὐτοῦ ἐκρίθη ὁ ὑπὸ τοῦ Βουφάνου ῥιφθεὶς πέλεκυς ἐπὶ τοῦ βωμοῦ τοῦ Πηλιέως Διός, βασιλεύοντος Ἐριχθέως. «Προίσταντο δὲ τοῦ Δικαστηρίου τούτου οἱ φιλοβασιλεῖς, οἵτινες τὸ ἐμπεσὸν ἄψυχον διέτασσον νὰ ῥιφθῇ ἐκτὸς τῶν ὁρίων.—Τὸ ἐπὶ Πρυτανείῳ δικάζει περὶ τῶν ἀψύχων τῶν ἐμπεσόντων καὶ ἀποκτεινάντων· προειστήκαισαν δὲ τούτου τοῦ Δικαστηρίου φιλοβασιλεῖς, οὓς ἔδει τὸ ἐμπεσὸν ἄψυχον ὑπερορίσαι». Πολδ. Η', 120. «Τὰ ξύλα καὶ τοὺς λίθους καὶ τὸν σίδηρον, τὰ ἄφωνα καὶ ἀγνώμονα, ἐὰν τῷ ἐμπεσόντι ἀποκτείνῃ ὑπερορίζομεν» Αἰσχ. κατὰ Κτησιφ. 244. «Ἐὰν λίθος ἢ ξύλον ἢ σίδηρος ἤ τι τοιοῦτον πεσὸν πατάξῃ, καὶ τὸ μέν βαλόντα ἀγνοῇ τις, αὐτὸ δὲ εἰδῇ καὶ ἔχῃ τὸ τὸν φόνον εἰργασμένον, τούτοις ἐνταῦθα λαγχάνεται. Δημοσθ. κατ' Ἀριστοκρ. 645.

τέστι περὶ τῆς τηρουμένης διαδικασίας κατὰ τὴν περίπτωσιν καθ' ἣν ἐπρόκειτο περὶ ζῴου δυναμένου νὰ συλληφθῇ, ἴσως δὲ ἀκολούθως διαλάβομεν καὶ περὶ τῆς ἑτέρας περιπτώσεως.

Ὅταν ζῷόν τι διέπραττεν ἀδίκημά τι συνελαμβάνετο καὶ ἐφυλακίζετο ἐν τῇ περιφερείᾳ ἔνθα εἶχε διαπράξει τὸ ἀδίκημα, πεπειραμένος δὲ ἀνακρι-τὴς ἐπελαμβάνετο τῆς ὑποθέσεως, διεξήγοντο ἀποδείξεις, ἐὰν δὲ τυχὸν ἀπε-δεικνύετο ἡ ἐνοχὴ τοῦ ἀτυχοῦς ζῴου, κατεδικάζετο εἰς ἀνάλογον τοῦ δια-πραχθέντος ἀδικήματος ποινήν. Ὅταν δὲ τὸ ζῷον κατεδικάζετο εἰς τὴν ἐσχάτην τῶν ποινῶν, ἐφέρετο εἰς τὸν τόπον τῆς ἐκτελέσεως ἐνδεδυμένον συνήθως ἐνδύματα ἀνθρώπου, ἡ δὲ ποινὴ ἐξετελεῖτο δημοσίᾳ, παρ' ἀνδρῶν πρὸς τοῦτο διωρισμένων καὶ φερόντων, κατὰ τὴν ὥραν τῆς ἐκτελέσεως τῆς ποινῆς, χειρίδας, καὶ τοῦτο ὅπως μὴ ὡς ἐκ τῆς μετὰ τοῦ ζῴου ἐπαφῆς μο-λυνθῶσιν αἱ χεῖρες αὐτῶν, καὶ ἐξ αὐτῶν μεταδοθῇ τὸ μόλυσμα καὶ εἰς τὸ λοιπὸν αὐτῶν σῶμα καὶ παρ' αὐτοῦ εἰς ὁλόκληρον τὴν κοινωνίαν ! !

Τοιούτου εἴδους δίκαι ἐγένοντο ἄπειροι, τὰ δὲ δικαστικὰ χρονικὰ τῆς ἐπο-χῆς ἐκείνης ἀναφέρουσιν ἀπείρους λεπτομερείας τῶν τοιούτου εἴδους δικῶν, οἷον τὴν ἡμερομηνίαν μιᾶς ἑκάστης, τὸ δαπανηθὲν ποσὸν διὰ τὴν ἐν τῇ φυλακῇ συντήρησιν τοῦ κατηγορουμένου ζῴου ἀπὸ τῆς συλλήψεώς του μέ-χρι τῆς ἡμέρας τῆς ἐκτελέσεως ἢ τῆς ἀποφυλακίσεως, τὰς δαπάνας διὰ τὴν ἐκτέλεσιν καὶ διαφόρους ἄλλας λεπτομερείας, δυναμένας νὰ χρησιμεύσωσι καὶ σήμερον ὡς τύπος σχετικῶν τοιούτων στατιστικῶν πληροφοριῶν, ἰδίως μάλιστα παρ' ἡμῖν. Τὸ δὲ περίεργον εἶναι ὅτι σώζονται καὶ τὰ κείμενα τῶν ἀποφάσεων τῶν περιφανεστέρων ἐκ τῶν δικῶν τούτων [1].

Ἠθέλομεν πληρώσει πολλὰς σελίδας ἀναφέροντες διάφορα παραδείγματα τοιούτων παραδόξων δικῶν, αἵτινες κατὰ τὰς αὐθεντικὰς πληροφορίας ἄρ-χονται ἀπὸ τοῦ ΙΓ' αἰῶνος, παραδόξως δὲ φαίνονται διαδραματιζόμεναι

[1] Χάριν περιεργείας ἀντιγράφομεν αὐτολεξεὶ τὸ τελευταῖον μέρος ἀποφάσεως ἐκ-δοθείσης τὴν 14 Ἰουνίου 1494, δι' ἧς κατεδικάζετο χοῖρός τις εἰς τὴν ἐσχάτην τῶν ποινῶν, ἤτοι εἰς τὸν δι' ἀγχόνης θάνατον, λόγῳ τοῦ ὅτι κατεξέσχισε καὶ ἔπνιξε βρέ-φος τι εἰς τὴν κοιτίδα του εὑρισκόμενον. Ἰδοὺ αὐτολεξεὶ μέρος τῆς ἀποφάσεως ταύ-της, ἣν δημοσιεύει εἰς τὰ χρονικὰ τοῦ διαμερίσματος τῆς Aisne ὁ Miroy-Destour-nelles, κατὰ τὸ 1812.

«Nous, en detestation et horreur du dit cas, et afin d'exemplaire et gardé justice, avons dit, jugé, sentencié, prononcé et appointé que le dit pourceaulz estant détenu prisonnier et enfermé en la dicte abbaye, sera, par le maistre des hantes œuvres, peudu et estranglé en une fourche de bois, auprès et joignant des fourches patibulaires et hautes justices des dits religieux estant auprès de leur cense d'Avin ; En temoing de ce, non avons scellé la présente de nostre scel.—Ce fut fait le 14e jour de juing, l'an 1494, et scellé en cire rouge, et sur le dos est écrit: Sentence pour une pourceaulz exécuté par justice, admené en la cense de Clermont et estranglé en une fourche lez gibez d'Avin.

μέχρι τοῦ τέλους τοῦ ΙϚ' αἰῶνος!! Παραλείποντες τὰ πολλὰ παραδείγματα, δὲν κρίνομεν ἄπο σκοποῦ νὰ ἀναφέρωμέν τινα τούτων παρουσιαζόντων ἐν τοῖς παραδόξοις παράδοξα. Ὁ Cartier [1], ἐν τῇ ἱστορίᾳ τῆς ἡγεμονίας τοῦ Βαλοᾶ ἀναφέρει ὅτι, ἐνοικιαστής τις τοῦ χωρίου Moisy ἀφῆκε καὶ τῷ διέφυγε ταῦρός τις ἀδάμαστος. Ὁ ταῦρος οὗτος συναντήσας χωρικόν τινα τὸν διετρύπησε διὰ τῶν κεράτων του, μετ' ὀλίγας δὲ ὥρας ὁ δυστυχὴς χωρικὸς ἀπεβίωσε. Ὁ φιλοδίκαιος κόμης τοῦ Βαλοᾶ Κάρολος, ἐν τῷ μεγάρῳ Crepy διαμένων, ἅμα μαθὼν τὴν ἀσύγγνωστον συμπεριφορὰν τοῦ ζώου, θέλων νὰ παραδειγματίσῃ καὶ τὰ λοιπὰ ζῷα, διέταξεν ἀμέσως τὴν σύλληψιν καὶ τὴν εἰς δίκην εἰσαγωγὴν τοῦ ἀνθρωποκτόνου ταύρου. Ἄμ' ἔπος, ἅμ' ἔργον, ἀμέσως ὁ ταῦρος συνελήφθη, οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἐπιδέξιος ἀνακριτὴς ἐστάλη ὅπως ποιήσῃ τὰς δεούσας ἀνακρίσεις, μετὰ δὲ τὴν ἐξέτασιν διαφόρων μαρτύρων, ἀποδειχθείσης τῆς ἐνοχῆς τοῦ ταύρου, ἐξεδόθη ἀπόφασις, δι' ἧς κατεδικάσθη οὗτος εἰς θάνατον. Ἡ ἐκτέλεσις τῆς ἀποφάσεως ἐγένετο παραχρῆμα καὶ οὕτω ὁ θάνατος τοῦ ζώου ἐχρησίμευσε πρὸς ἐξιλασμὸν τοῦ ἀδικήματος, πρὸς ἱκανοποίησιν τοῦ δικαίου.

Ἀλλὰ μὴ νομίσῃ τις ὅτι διὰ τῆς ἐκτελέσεως τῆς ἀποφάσεως ἔληξε καὶ ἡ διαφορά. Οἱ ἐνστασιολόγοι τῆς ἐποχῆς ἐκείνης, οὐχὶ φειδωλότεροι φαίνεται, περὶ τὴν ἀκριβῆ φύλαξιν τῶν τύπων σημερινῶν τινων ἐνστασιολόγων, ἀνεκάλυψαν σπουδαιοτάτην παράβασιν καὶ προέβαλον ἔνστασιν ἀναρμοδιότητος, λόγῳ ὅτι ἡ περιφέρεια, ἐντὸς τῆς ὁποίας διέπραξε τὸ ἀδίκημα ὁ ταῦρος, δὲν ὑπήγετο εἰς τὴν ἁρμοδιότητα τοῦ κόμητος Βαλοᾶ τοῦ τὰς ἀνακρίσεις διατάξαντος. Τούτου ἕνεκα ἐγένετο ἔφεσις κατὰ τῆς ἀποφάσεως, δι' ἧς δῆθεν ὁ ταῦρος εἶχεν ἀναρμοδίως καταδικασθῇ, τὸ δὲ Ἐφετεῖον μετὰ παρατεταμένην συζήτησιν, ἴσως δὲ καὶ πολυήμερον διάσκεψιν — ἂν καὶ περὶ τοῦ τελευταίου τούτου ὁ χρονογράφος οὐδὲν ἀναφέρει —, ἐξέδοτο ἀπόφασιν, δι' ἧς διὰ μακρῶν σκέψεων ἀπεφήνατο ὅτι, ναὶ μὲν ἡ εἰς τὸν ταῦρον ἐπιβληθεῖσα ποινὴ ἦτο δικαιοτάτη, ἀλλ' οὐχ ἧττον ἥ τε ἀνάκρισις καὶ τὸ Δικαστήριον ἀναρμοδίως ἐπελάβετο τῆς ὑποθέσεως ταύτης [2].

Κατὰ τὸν ΙΓ' αἰῶνα ὁ Φίλιππος De Beaumanoir, διὰ πολλῶν καὶ πειστικῶν ἐπιχειρημάτων προσεπάθησε νὰ καταδείξῃ τὸ γελοῖον τῶν τοιούτων δικῶν. «Ἐκεῖνοι, ἔλεγεν, οἵτινες ἔχουσι τὸ δικαίωμα νὰ ἐνασκῶσι τὴν δικαστικὴν ἐξουσίαν ἐπὶ τῶν γαιῶν των, εἰσάγουσιν εἰς δίκην τὰ ζῷα τὰ προξενοῦντα φόνους, ἀλλὰ τὸ τοιοῦτον εἶναι ὅλως παράλογον, διότι τὰ ἄγρια θηρία δὲν ἔχουσι συνείδησιν οὔτε τοῦ ἀγαθοῦ οὔτε τοῦ κακοῦ, καὶ τούτου ἕνεκα ἡ τιμωρία αὕτη δὲν δύναται νὰ φέρῃ καρπούς· ἡ τιμωρία πρέπει νὰ ἐπιβάλληται κατὰ τοῦ αὐτουργοῦ τοῦ ἔχοντος συνείδησιν τῆς πρά-

[1] Τομ. Β', σελ. 207.

[2] Ἡ ἀπόφασις αὕτη ὑπάρχει κατακεχωρισμένη ἐν ἱστορικῷ δοκιμίῳ περὶ Παρισίων, δημοσιευθέντι ὑπὸ Saint-Foix ἐν τόμ. Ε', σελ. 100.

ξεώς του, οὕτω δὲ ἡ ποινὴ δύναται νὰ χρησιμεύσῃ καὶ κατὰ τοῦ αὐτουργοῦ ὡς τιμωρία, καὶ ὡς παραδειγματισμὸς καὶ κατὰ τῶν λοιπῶν, ἀλλ' ἀπὸ τῶν ἀλόγων ζώων ἐλλείπει ἡ συνείδησις τῆς πράξεως καὶ ἡ ποινὴ ἀποβαίνει ἄσκοπος καὶ περιττή». Ἀλλ' ὅμως ἡ κλίσις πρὸς τὰς τοιούτου εἴδους δίκας ἦτο τοσοῦτον ἐρριζωμένη, ὥστε αἱ εὔλογοι αὗται παρατηρήσεις τοῦ εἰρημένου Νομοδιδασκάλου οὐδὲν ἠδύναντο νὰ φέρωσιν ἀποτέλεσμα καὶ αἱ τοιαῦται δίκαι ἐξηκολούθουν. Κατὰ τὴν ἐποχὴν δὲ ταύτην, περὶ ἧς λαλοῦμεν, οἱ ὑποστηρικταὶ τῶν δικῶν τούτων ἐστηρίζοντο καὶ ἐπὶ τῆς αὐθεντίας ἱερῶν γραφῶν [1], ἄλλως τε δὲ ἐθεώρουν ὅτι ἡ τιμωρία τοῦ ἐνόχου ζώου ἐνέπνεε πάντοτε ἀποστροφὴν πρὸς τὸ ἔγκλημα, καὶ ὅτι ὁ ἰδιοκτήτης τοῦ καταδικαζομένου ζώου ἀρκούντως ἐτιμωρεῖτο διὰ τῆς ἀπωλείας αὐτοῦ.

Τοιαῦται ἦσαν αἱ ἐπικρατοῦσαι τότε ἰδέαι κατὰ τὴν ἑσπερίαν Εὐρώπην. Λέγομεν κατὰ τὴν ἑσπερίαν Εὐρώπην, διότι εὐτυχῶς ἐν τῷ Βυζαντινῷ κράτει ἐνωρὶς ἐπεκράτησε τὸ ἀξίωμα ὅτι τότε μόνον δύναται νὰ φέρῃ τις εὐθύνην καὶ νὰ ὑποστῇ ποινήν, ὅταν ὁ τὸ ἄδικον πράττων ἔχει συνείδησιν τῆς πράξεώς του καὶ τῶν ἀποτελεσμάτων αὐτῆς, ὅταν τουτέστι φέρῃ τὴν αἰτίαν τῆς πράξεως ὡς λογικὸν ὄν, ἄλλως ἡ πρᾶξις θεωρεῖται προερχομένη ἐκ φυσικῶν μόνον δυνάμεων, ὅπως ἡ ὑπὸ τῆς θυέλλης ἢ τῆς χαλάζης προξενουμένη, δι' ἣν ὁ πράττων δὲν εὐθύνεται. Ἐν τῇ ἑσπερίᾳ, μόλις περὶ τὰ τέλη τοῦ ΙϚ' αἰῶνος ἤρξαντο νὰ ἐλλείπωσι κατὰ τὴν ἱστορίαν παραδείγματα τοιούτων δικῶν, ἔκτοτε δὲ ἤρξαντο νὰ καταδικάζωσιν εἰς ἀποζημιώσεις τὸν κύριον τοῦ ζώου τοῦ προξενήσαντος τὴν βλάβην.

Σ. Κ. Μπαλάνος.

ΠΕΡΙΓΡΑΦΗ ΤΗΣ ΛΥΚΙΑΚΗΣ ΠΟΛΕΩΣ ΑΝΤΙΦΕΛΛΟΥ

Ἡ Ἀντίφελλος κατὰ τὰ παράλια τῆς Λυκίας, ἀπέναντι τοῦ λιμένος καὶ τῆς πόλεως τῆς νήσου Μεγίστης (Καστελλορίζου) κειμένη, ἦτο καὶ εἶνε ἔτι καὶ νῦν ἐπίνειον καὶ ἐμπορικὸς λιμὴν πολλῶν μὲν καὶ ἄλλων Λυκιακῶν μεσογείων πόλεων, ἰδίως δὲ κατὰ τοὺς ἀρχαίους χρόνους τῆς μεγάλης ἀλλ' ἤδη κατηρειπωμένης πόλεως Φελλοῦ, ἐξ ἧς ἔλαβε καὶ τὸ ὄνομα Ἀντίφελλος.

Πρὸς δυσμὰς τῆς Ἀντιφέλλου ἐκτείνεται μικρὰ πεδιάς, ἔχουσα πρὸς Β. τὸν Κράγον καὶ πρὸς Ν. μακρὸν λόφον, ὅστις, εἰς στενὸν πρὸς δυσμὰς καὶ μακρὸν ἀκρωτήριον ἀπολήγων, σχηματίζει λιμένα, Βαθὺν ἐκ τοῦ σχήμα-

[1] «Ἐὰν δὲ κερατίσῃ ταῦρος ἄνδρα ἢ γυναῖκα καὶ ἀποθάνῃ, λίθοις λιθοβοληθήσεται ὁ ταῦρος, καὶ οὐ βρωθήσεται τὰ κρέα αὐτοῦ, ὁ δὲ κύριος τοῦ ταύρου ἀθῷος ἔσται». Παλαιᾶς διαθήκης. Ἔξοδος κεφ. XXI Ψαλ 28.

